6. Si mulier, cum liberi adsint, ante virum suum obierit, tunc pater filiorum dotem matris filiorum et bona omnia extra dotem constituta et universam illius substantiam retineat et custodiat. Filii autem in patris sui potestate maneant, qui totam curam et administrationem domus filiorumque suorum geret; nec liberi patri suo adversentur vel ab eo matris suae dotem aut bona extra dotem exstantia efflagitent, sed illum potius facto et verbis honorent, uti antea scriptum est. Quod si pater filiorum alteram uxorem ali-

(1) *Ecl.* II, 5 in fine: « τὴν εἰσενεχθεῖσαν παρ' αὐτῆς τῷ ἀνδρὶ αὐτῆς προῖκα καὶ μόνον σὺν τῇ ἀποχαρισθείσῃ παρ' αὐτοῦ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς δωρεᾷ παρέχοντες (οἱ παῖδες) αὐτῇ ». Il nostro ha cambiato la dizione per mettere d'accordo questo capo col precedente cap. 3.

(2) Mentre il nostro nel capo anteriore, là dove l'*Ecl.* II, 5 diceva sempli-

τῶν παίδων ποτὲ καιρῷ θελήσει δευτέραν λαβεῖν γυναῖκα, καὶ οἱ παῖδες c. 5 A
αὐτοῦ ἀνήλικες ὑπάρχουσιν, τουτέστι μὴ πληρώσαντες τὰ κε' ἔτη, τότε μέλλει ὁ πατὴρ αὐτῶν φυλάττειν τὴν μητρικὴν αὐτῶν ὑπόστασιν καὶ τὴν προγαμιαίαν δωρεὰν ἀνελλειπῆ. εἰ δὲ τῆς ἐννόμου ἡλικίας οἱ παῖδες ὑπάρχουσιν, εἰ θελήσουσιν, ἄνευ πάσης ἀντιλογίας ὁ πατὴρ αὐτῶν παρεχέτω ταῦτα αὐτοῖς (1).

7. Εἰ δὲ θελήσει ἢ ὁ ζῶν πατὴρ ἢ ἡ ζῶσα μήτηρ καταλιπεῖν τὰ τέκνα αὐτῆς ἀνήλικα ὑπάρχοντα, χωρὶς δευτερογαμίας, μὴ ἐχέτωσαν ἄδειαν τοῦτο ποιῆσαι, ἀλλ' ἀναγκαζέσθωσαν καὶ μὴ βουλόμενοι ποιῆσαι τὴν φροντίδα τοῦ οἴκου καὶ τῶν παίδων διοίκησιν, καθώς φησιν ὁ ἀπόστολος· « ὅτι χήρα ἔχουσα τέκνα ἢ ἔγγονα μανθανέτω πρῶτον τὸν ἴδιον « οἶκον εὐσεβεῖν, τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ ». εἰ δὲ τὰ τέκνα τὰς ἐντολὰς (a) τοῦ θεοῦ γινώσκουσι καὶ γυναῖκας ἐπῆραν, διότι δύνανται ποιῆσαι τὴν φροντίδα καὶ διοίκησιν τῶν ἰδίων οἴκων, καὶ θελήσει

(a) *Cod.* ἐνταλὰς

quando ducere voluerit, et filii eius impuberes exstiterint, h. e. nondum .xxv. annos expleverint, tunc pater eorum maternam ipsorum substantiam et imminutam antenuptialem donationem custodire teneatur. Sin autem liberi legitimae fuerint aetatis, omni contradictione remota, haec (bona) ipsis, si velint, pater eorum exhibeat.

7. Quod si pater materve superstes liberos adhuc impuberes relinquere, absque secundis nuptiis, velit, nullam id agendi habeant potestatem, sed et abnuentes cogantur ut domus et filiorum curam administrationemque suscipiant, sicut dicit Apostolus: « Vidua liberos habens vel nepotes discat primum in propriam « domum pietatem exercere; hoc enim acceptum est coram Deo ». Quod si filii praecepta Dei cognoverint et uxores duxerint, cum curam administrationemque domorum suarum suscipere valeant,

cemente che i figli doveano alla madre superstite onore ed ubbidienza « κατὰ « τὴν τοῦ Θεοῦ ἐντολήν », a queste parole aggiunse le altre: « τὴν λέγουσαν », e qui ad esse si richiama; l'Ecloga invece in questo luogo ha tutto uno squarcio di erudizione biblica, come si può vedere in ZACHARIAE, *Ecloga Leonis*, p. 18.

(1) Cf. *Ecl.* II, 6.

c. 5 B ὁ ζῶν γονεὺς ἐπαναχωρῆσαι ἐξ αὐτῶν, ἐχέτω ἐξουσίαν τοῦτο ποιῆσαι, λαβὼν μετ' αὐτοῦ καὶ τὸ πρᾶγμα αὐτοῦ καὶ μοῖραν τοσαύτην, ὅσην ἐπῆρεν εἷς τῶν τέκνων αὐτοῦ (1).

8. Εἰ δέ τις ἄνθρωπος τυχὸν διὰ στένωσιν ἢ διὰ ταπείνωσιν μὴ δυνηθῇ ἐγγράφως ποιῆσαι γάμον, ὡς καὶ προετυπώσαμεν, καὶ ἀγράφως δύναται ποιῆσαι γάμον, ἀλλ' ὅμως ἵνα πρῶτον στέρξωσιν οἱ πατέρες αὐτῶν τὴν γνώμην τῶν ἰδίων τέκνων, εἴτε ἐν ἐκκλησίᾳ τοῦτο δι' εὐλογίας, ἢ καὶ ἐνώπιον φίλων ἵνα γνωρισθῇ. ἀλλὰ καὶ οἱοσδήποτε ἄνθρωπος γυναῖκα ἐλευθέραν εἰσάγει (a) εἰς τὸν οἶκον αὐτοῦ καὶ καταπιστεύει αὐτῇ πᾶσαν τὴν διοίκησιν τοῦ οἴκου αὐτοῦ, καὶ οἱ γείτονες αὐτοῦ γινώσκουσιν ὅτι ἐν τῷ κραβάττῳ (b) αὐτοῦ ἔχει αὐτήν (2), καὶ οὗτος ἄγραφον γάμον ἐποίησεν αὐτῇ· εἰ δὲ οὐ δύναται ἔχειν παῖδας ἐξ αὐτῆς, καί ποτε καιρῷ

(a) *O* εἰσαγάγῃ *? (ma cf.* καταπιστεύει – γινώσκουσιν*).* *Cod.* εἰσαγάγει (b) *Così il Cod.; si ha da leggere* κραββάτῳ *?*

et superstes parens ab illis secedere velit, potestatem hoc faciendi habeat, accipiens secum et res suas et partem tantam, quantam unusquisque filiorum suscepit.

8. Si quis forte ob rei familiaris angustiam vel humilitatem per scripturam nuptias celebrare nequeat, prout antea statuimus, et citra scripturam nuptias celebrare potest; oportet nihilominus ut antea parentes liberorum suorum consilio assentiantur, sive hoc in ecclesia per benedictionem sive coram amicis innotescat. Sed et quicumque liberam mulierem in domum suam adducat, eique domus administrationem universam ita credat, ut ipsius vicini sciant illum secum in lectulo eam habere, et iste nuptias citra scripturam cum illa contrahit. Quod si filios ab ea minime susceperit et, aliqua

(1) Cf. *Ecl.* II, 7. Si notino le modificazioni arrecate nella seconda parte di questo capo, perchè l'*Ecl.* cit ha: « εἰ « δὲ τῶν ἐντελῶν χρόνων εἰσὶ τὰ τέκνα καὶ « εἰς βίον περιθλῶν καὶ δύνανται τὴν ἰδίαν « διοίκησιν ποιεῖν, καὶ θελήσει τις ἐκ τῶν « γονέων ἀναχωρῆσαι ἐξ αὐτῶν, ἐπ' ἀδείας « ἔχειν τὸ τοιοῦτον πρόσωπον μετὰ τὴν τῶν « ἰδίων πραγμάτων ἐγκράτησιν καὶ ἑνὸς « παιδὸς μοῖραν λαμβάνειν αὐτὸν πρὸς τὸν « ἀριθμὸν τῶν τέκνων ».

(2) L'*Ecl.* II, 8 dice semplicemente: « ταύτῃ σαρκικῶς συμπλεκόμενος ». Cf. un documento del *Cod. dipl. Cav.* V, 753 (a. 1023), nel quale il donante, certo Astolfo, dice: « ... dona« bi[t] vobis desege, que ego in « casa habeo... ».

θελήσει ἀποδιῶξαι αὐτὴν ἐκ τοῦ οἴκου αὐτοῦ, μέλλει δοῦναι αὐτῇ ἀνελλειπῶς εἴ τι δ' ἂν ἔφερε, καὶ ἀναγκαζέσθω παρέχειν αὐτῇ τὸ τέταρτον μέρος ἐκ πάντων ὧν ἔχει (1).

9. Εἰ δέ τις πτωχῇ γυναικὶ πρὸς νόμιμον γάμον συναφθῇ καὶ τελευτήσει ἄπαις καὶ ἀδιάθετος, ἡ μὲν γυνὴ ‖ λαμβανέτω τὴν προῖκα αὐτῆς c. 5 c
ἣν ἔφερε καὶ ἅπασαν τὴν προγαμιαίαν δωρεὰν καὶ ὅσα ἂν συνεφωνήθη ἐν τῷ καιρῷ τοῦ γάμου· εἰ δὲ μὴ συνεφωνήθη, συμψηφισθήσεται (a) κατὰ τὴν ἀναλογίαν τῆς προικὸς αὐτῆς, (2) καὶ τὰ ὑπόλοιπα τοῦ ἀνδρὸς πράγματα ἀποστρέφεσθαι (b) εἰς τοὺς κληρονόμους αὐτοῦ, οὓς ὁ νόμος καλεῖ τοὺς ἐξ ἀδιαθέτου· τουτέστιν, εἰ μὲν ὁ πατὴρ ζῇ ἢ ἡ μήτηρ, ἵνα οὗτοι πρῶτον κληθῶσιν εἰς τὴν κληρονομίαν τοῦ ἰδίου παιδός· εἰ δὲ τῶν τοιούτων οὐδεὶς ὑπάρχει, οἱ αὐτοῦ ἀδελφοὶ ἢ οἱ παῖδες τῶν ἀδελφῶν αὐτοῦ καλείσθωσαν· εἰ δὲ ἐκ τῶν τοιούτων προσώπων οὐδεὶς ὑπάρχει, ἵνα κληθῶσιν αἱ ἀδελφαὶ τοῦ τελευτήσαντος, ἢ οἱ παῖδες αὐτῶν, καὶ οὕτως κατὰ τάξιν τὰ ἄλλα πρόσωπα, ἃ ὁ νόμος κελεύει· εἰ δὲ τῶν

(a) *Cod.* συμψηφιϑήσεται (b) *Così il Cod. Cf. II, 3.*

occasione arrepta, illam e domo sua extrudere voluerit, mulieri, si quid ipsa attulit, restituat et insuper quartam substantiae suae partem praestare cogatur.

9. Si quis inopi mulieri legitimo matrimonio copulatus sine liberis et intestatus decesserit, accipiat mulier dotem, quam attulit, et totam antenuptialem donationem et omnia quae conventa fuerunt occasione nuptiarum; quod si conventio nulla interfuerit, ad dotis mensuram computetur, et reliqua viri substantia ad illius heredes revertat, quos lex ab intestato vocat, h. e. si pater vel mater vivit, hi priores ad filii hereditatem vocentur; et, nemine ex his exstante, defuncti sorores vocentur vel liberi earum, et ita secundum ordinem alii, quos lex iubet; et, si legitimorum

(1) Cf. *Ecl.* loc. cit.

(2) Si osservino i cangiamenti portati dal nostro nella disposizione dell'*Ecl.* II, 9, per mettere d'accordo questo coi paragrafi precedenti. L'*Ecl.* loc. cit. ha: « κομίζεσϑαι τὴν γυναῖκα ἐκ « τῆς ἀνδρῴας ὑποστάσεως ὑπὲρ ἐξ ἀπαι- « δίας κάσου τέταρτον μέρος κατὰ τὴν « εὐπορίαν τοῦ ἀνδρὸς ἕως λιτρῶν ι'· εἰ δὲ « καὶ ἐπάνω τῶν ι' λιτρῶν εὐπορεῖ ὁ ἀνὴρ, « μὴ ἔχειν αὐτὴν ἄδειαν ἕτερόν τι κομίζε- « σϑαι ».

ἐννόμων προσώπων οὐδεὶς ζῶν εὑρεθῇ, τῷ φίσκῳ, ἤγουν τῷ δημοσίῳ, δοθήτωσαν (1).

c. 5 b περὶ δευτερογαμίας(a).

10. Δευτερογαμία καὶ ἐγγράφως καὶ ἀγράφως γίνεται ἐπὶ τοῖς μὴ κεκωλυμένοις προσώποις. εἰ μὲν παῖδες οὐχ ὑπάρχουσιν ἐκ τοῦ προτέρου γάμου, ἀφόβως δύνανται γαμεῖν κατὰ τοὺς ὄπισθεν δηλουμένους τρόπους· εἰ δὲ παῖδες ὑπάρχουσιν ἐκ τοῦ πρώτου γάμου, οὐ δυνήσηται (b) ὁ πατὴρ τῶν παίδων δοῦναι τῇ δευτέρᾳ γυναικί, εἰ μὴ μοῖραν ἑνὸς παιδὸς ἐκ τῆς ἴδίας περιουσίας, τουτέστιν ἐκ τῶν οἰκείων πραγμάτων, τὰ γὰρ ἄλλα ἅπαντα τῶν παίδων ὑπάρχουσι τοῦ προτέρου γάμου. τὸ αὐτὸ μέλλει φυλάττειν καὶ ἡ δευτερογαμοῦσα γυνή, ἐὰν τέκνα ἔχει (c) ἐκ τοῦ προτέρου γάμου, φυλάττουσα καὶ τὸν πένθιμον (d) χρόνον, τουτέστι μῆνας ιβ'. ἀπὸ τοῦ καιροῦ τῆς θανῆς τοῦ προτέρου ἀνδρὸς αὐτῆς· εἰ δέ, πρὶν πληρωθῇ ὁ πένθιμος χρόνος, δευτερογαμήσει ἡ γυνή, ἄτιμος καὶ ὑβρι-

(a) περὶ δευτερογαμίας] *da espungere.* (b) *Così il Cod. Si ha da leggere* δυνήσεται? *Ma cf.* οἱ κατακριθεῖ (= -θῇ), *III, 4; e* οὐ καταδικασθεῖ (= -θῇ), *XII, 12.* (c) *Cod.* ἔχῃ *(ma* ἐὰν - ἔχει, *V, 13). Cf. XI, 4; XII, 15.* (d) *Cod.* πένθημον

heredum nullus adhuc superstes inveniatur, detur fisco, h. e. aerario publico.

de secundis nuptiis.

10. Secundae nuptiae et scriptura interveniente et sine scriptura inter personas minime prohibitas contrahuntur. Si ex priore matrimonio liberi non adsunt, absque metu iuxta modos superius declaratos nubere possunt; quod si ex priore matrimonio liberi supersunt, eorum pater alteri uxori suae nihil amplius dare potest, quam unius filii partem ex substantia sua, h. e. ex rebus propriis, cum reliqua omnia bona sint filiorum ex priore matrimonio susceptorum. Id ipsum et mulier observabit secundis nuptiis indulgens, si liberos ex priore matrimonio habeat, custodiens et tempus luctuosum, h. e. .XII. menses a morte prioris viri sui; quod si mu-

(1) *Ecl.* loc. cit.: « εἰς τὸ μέρος τοῦ δημοσίου ».

ζομένη ἔσται παρὰ τῶν ἰδίων τοῦ τελευτήσαντος ἀνδρὸς αὐτῆς (1), ‖ καὶ c. 6 A
μηδὲν κερδαίνουσα τῆς προγαμιαίας δωρεᾶς καὶ οἱουδήτινος πράγματος
ἐξ ὧν ἐχάρισεν (a) αὐτῇ ὁ προτελευτήσας ἀνὴρ αὐτῆς, μᾶλλον καὶ τῆς
προικὸς αὐτῆς ἀποστερηθήσεται, καὶ τοῖς παισὶν αὐτῆς δοθήσονται (2).
εἰ δὲ φυλάξοι (b) τὸν πένθιμον χρόνον, καὶ τὴν κοίτην τοῦ προτέρου
ἀνδρὸς αὐτῆς οὐ μιανεῖ ἔνδοθεν τῶν ιβ' μηνῶν (3), ἵνα λάβοι τὴν ἰδίαν

(a) *Cod.* ἐχάρησεν (b) *Così il Cod.; si ha da leggere* φυλάξει? *Ma cf.* εἰ - ἐλέγξοι, *III, 3;* ἐὰν - ἕξοι, *V, 13, ecc.*

lier, priusquam luctuosum tempus impleatur, secundas ad nuptias transeat, infamis esto, et iniuriis a mortui viri propinquis afficiatur, nec quidquam ex antenuptiali donatione et ex quibuscumque bonis, quae praemoriens vir largitus ei fuerit, omnino lucretur, sed potius et dote sua privetur, et (omnia) liberis dentur. Si vero luctuosum tempus custodiet, nec prioris viri sui lectum intra .XII. menses

(1) L'*Ecl.* II, 10 ha soltanto: « ἄτι- « μος ἔσται ».

(2) L'*Ecl.* loc. cit.: « μηδὲν ἐκ τοῦ προ- « τέρου ἀνδρὸς κερδαίνουσα καθ' οἱονδή- « ποτε τρόπον ». Della perdita della dote non vi è parola. Nelle Consuetudini di Amalfi troviamo qualcosa di simile. In esse si stabilisce che la vedova « per viginti annos custodiens « lectum viri sui, si voluerit « transire ad secundas nuptias, non « poterit habere, secundum est de con- « suetudine, nec partes, nec dotes, nec « quartam viri sui ». Cf. cap. X delle *Consuetudini della città di Amalfi ridotte a miglior lezione da* L. VOLPICELLA, Napoli, 1849, p. 23 sg. Cf. pure G. RACIOPPI, *Le consuetudini civili di Amalfi*, nell'*Arch. stor. per le prov. napol.* V, 1.

(3) Questa frase caratteristica s'incontra la prima volta, se non andiamo errati, nell'*Epanag.* XIX, 6: « Ἡ πρὸ τοῦ « πενθίμου χρόνου εἰς δεύτερον ἑαυτὴν συ- « νοικέσιον ἐπιῤῥίψασα, ὡς εἰς αὐτὰς [τὰς] « γονὰς καὶ κοίτην ἀνδρῴαν ἐξυ- « βρίσασα »; di qui passò nell' *Ecl. ad Proch. mut.* II, 22, e pare anche nella Novella XXII di Leone il Filosofo: « ἐπὶ τοῦ μέρους τῆς δωρεᾶς, ἣν « παίδων οὖσα μήτηρ γυνὴ λαμβάνει, καὶ « μὴ δευτέροις γάμοις ἀναγομένη τὴν « νυμφικὴν συμφύρει κοίτην ». Cf. anche *Nov. Iust.* 2, 3: « τηρεῖν « ἄθικτον τῷ τελευτήσαντι τὴν εὐνήν ». Oltre il presente luogo del nostro *Prochiron*, altri documenti dell'Italia meridionale ci mostrano che un tal modo di dire quivi era diventato d'uso comune. Così nel « Pactum » beneventano di Arechi leggiamo al cap. 14: « Quaecumque mulier proprias res ha- « bens mortui mariti lectum « caste servaverit », e nelle Consuetudini citate di Amalfi la frase « custodire lectum viri » s'incontra e nel passo riferito e moltissime altre volte. Infine si confrontino i seguenti documenti del *Cod. dipl. Cav.* II, 257 (a. 968): « si uxore mea », così dice il testatore, « casta lectum meum custo- « dierit »; VI, 920 (a. 1037): « dum « lectum eius custodierit ».

προῖκα καὶ εἴ τι ἄλλο ἐχάρισεν αὐτῇ προτελευτήσας ὁ ἀνήρ (1). εἰ δὲ καὶ τέκνα ποιήσει ἐκ τῆς δευτέρας γυναικὸς, καὶ μετὰ ταῦτα τελευτήσει, ἐξουσίαν ἕξουσι καὶ τὰ πρῶτα τέκνα καὶ τὰ δεύτερα ἵνα ὁμοίως κληρονομήσωσι (a) τὸν ἴδιον πατέρα, ὡσαύτως καὶ τὴν μητέρα.

11. Ἐὰν γυνή τις χήρα μένουσα ἐκ τοῦ πρώτου ἀνδρὸς δεύτερον ἄνδρα λάβοι, εἰ μὲν ἔχει παῖδας ἐκ τοῦ προτέρου γάμου, πρὸ τοῦ δευτε-
c. 6 B ρογαμῆσαι μέλλει δοῦναι ἐπίτροπον εἰς ‖ τὰ ἴδια τέκνα τοῦ πρώτου γάμου, ἵνα φυλάξοι τὰ πράγματα τῶν παίδων ἀνελλειπῆ, καὶ μετὰ ταῦτα δύναται ἀκωλύτως καὶ χωρὶς κατακρίσεώς τινος δεύτερον λαβεῖν ἄνδρα. εἰ δὲ μὴ τοῦτο ποιήσει, ὑπεύθυνα καὶ ὑπόδικα γενήσονται τὰ πράγματα αὐτῆς, ὁμοίως καὶ τοῦ δευτέρου ἀνδρὸς χρήματα, ἄχρις ἂν οἱ παῖδες τοῦ πρώτου γάμου λάβωσι τὰ πατρικὰ αὐτῶν πράγματα (2).

(a) *Cod.* κληρονομίσωσι

foedabit, accipiat tunc dotem suam et si quid aliud largitus est ei vir eius praemoriens. Si liberos etiam ex altera uxore susceperit, et deinde obierit, et priores et posteriores liberi facultatem habebunt aequaliter patri suo succedendi, uti et matri.

11. Cum mulier aliqua, priore viro orbata, alterum virum accipiat, si liberos ex priore coniugio habet, priusquam ad secunda transeat vota, liberis suis ex priore matrimonio susceptis tutorem dabit, qui liberorum bona imminuta custodiat, et deinde alteri viro absque ullo impedimento vel damnatione nubet. Si hoc facere neglexerit, et bona ipsius et alterius viri substantiae obligata erunt et subiecta, donec prioris matrimonii liberi paternas suas res accipiant.

(1) Oltre la necessaria modificazione apportata alle ultime parole del corrispondente periodo dell'Ecloga, la quale ordina che la vedova prenda insieme colla dote anche le cose a lei donate « ἐν ἐπαυξήσει τῆς προικός », bisogna notare che nel nostro manca il seguente passo: « ὡσαύτως δὲ καὶ τὸν « ἄνδρα εἰς δεύτερον γάμον περιερχόμενον « μηδὲν ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς « λαμβάνειν· εἰ δὲ ὑπάρχουσιν ἀνήλικοι « παῖδες, τὰ τούτων πράγματα παραφυ- « λάττειν αὐτὸν, μέχρις ἂν τῶν ἐντελῶν « γένωνται χρόνων. εἰ δὲ καὶ τῶν ἐντελῶν « εἰσι, παρέχεσθαι αὐτοῖς ἀπεντεῦθεν ἤδη « τὰ μητρῷα αὐτῶν ἐντελῶς πράγματα ». Forse il nostro credette inutile ripetere ciò ch'era già detto nel cap. 6, per le seconde nozze del vedovo.

(2) Cf. *Ecl.* II, 11.

Τίτλος γ'.

Περὶ λύσεως γάμου (1).

1. Διαχωρίζεται ὁ ἀνὴρ ἀπὸ τῆς ἰδίας γυναικὸς διὰ τοιαύτας αἰτίας· ἐὰν ἡ γυνὴ αὐτοῦ ὡς μοιχαλλὶς κρατηθῇ, καὶ ἐὰν τρόπῳ τινὶ ἐπιβουλεύσει (a) ἡ γυνὴ τὸν θάνατον αὐτοῦ, ἢ γινώσκουσα ἄλλον τινὰ ἄνθρωπον θανατῶσαι τοῦτον βουλόμενον, μὴ φανερώσῃ αὐτῷ τὸ κακόν (2). ἀλλ' ἐπειδὴ κατὰ θέλημα τῶν ἀμφοτέρων προσώπων καὶ διὰ ζῆν βίον σώφρονα ὁ γάμος διαλύεται, προστάσσει ὁ θεῖος Ἰουστινιανὸς (b) ‖ μὴ ἁπλῶς οὕτως c. 6 c
καὶ ὡς ἔτυχε παρευθὺς γίνεσθαι μοναχούς, ἀλλὰ φυλάττοντας πᾶσας τὰς αἰτίας, ἃς προστάσσει ὁ νόμος, ἕκαστον πρόσωπον τὸ ἴδιον αὐτοῦ πρᾶγμα λαβεῖν, ἐὰν παῖδας οὐκ ἔχωσιν· εἰ δὲ παῖδες ὑπάρχουσιν αὐτοῖς, τὴν δεσποτείαν τῶν πραγμάτων αὐτῶν οἱ παῖδες λαβεῖν μέλλουσιν (3).

(a) *Si ha da correggere* ἐπιβουλευσῃ *?* (b) *Cod.* Ἰουστινιανὸς

Titulus III.

De solutione matrimonii.

1. Separatur vir ab uxore sua has ob causas: si uxor tanquam pellex innotescat, et si quoquo modo illius mortem machinetur vel, cognoscens ab alio quodam viri eius occidendi consilium susceptum, ei scelus non patefaciat. Sed cum amborum voluntate et vitae castius vivendae causa matrimonium solvatur, divus Iustinianus iubet illos non ita simpliciter et temere statim monachos fieri, sed causis, quas lex statuit, observatis, unumquemque eorum bona sua accipere, si filios non habent; sin autem liberi illis sint, tunc rerum eorum dominium liberi accipiant.

(1) Mentre il nostro, sull'esempio dell'Ecloga privata, ha conservato al titolo II la intera rubrica apposta al secondo titolo dell'Ecloga isaurica, ha fatto poi dell'ultima parte di questo, sebbene accresciuta, il titolo III. Cf. Zachariae, *Collectio librorum iuris graeci-romani ineditorum*, p. 5. Ciò dimostra che il nostro tenne presente appunto l'Ecloga privata.

(2) Questo passo corrisponde alla prima parte del cap. 13, tit. II dell'Ecl.

(3) Per la seconda parte di questo paragrafo cf. *Proch. Bas.* XI, 4 con la nota dello Zachariae, loc. cit. ed *Epanag.* XXI, 1, con lo σχόλιον edito anche dallo Zachariae, p. 135, nota b, nel quale è detto: « Ἰστέον, ὅτι « ἐν μὲν τῇ κβ' νεαρᾷ, καθ' ἣν καὶ τοῦτο « ἐστὶ τὸ κεφ. – ἐν δὲ τῇ ριζ' νεαρᾷ ».

2. Ὁμοίως διαχωρίζεται ὁ ἀνὴρ ἀπὸ τῆς γυναικὸς αὐτοῦ, ἐὰν αὐτὴ ἡ γυνὴ γινώσκῃ τινὰς ἀνθρώπους κατὰ τοῦ βασιλέως τῆς χώρας ἐπιβουλευομένους [a], καὶ τῷ ἰδίῳ ἀνδρὶ αὐτῆς μὴ φανερώσῃ τὸ πρᾶγμα, ἵνα καὶ αὐτὸς ἀπελθὼν εἴπῃ τῷ βασιλεῖ. εἰ δὲ ὁ ἀνὴρ οὐ λέγει ταῦτα τῷ βασιλεῖ, ἀλλ' ἡ γυνὴ μηνύσει τοῦτο δι' ἄλλου τινὸς προσώπου, οὐ δύναται ὁ ἀνὴρ ἐκ τούτου εὑρεῖν πρόφασιν τοῦ διαχωρίζεσθαι ἀπὸ τῆς γυναικὸς αὐτοῦ [1].

3. Εἰ δὲ νομίσει ὁ ἀνὴρ ὅτι δύναται ἐλέγξαι τὴν γυναῖκα αὐτοῦ περὶ
c. 6 b μοιχείας, ‖ πρῶτον μὲν μέλλει ἐγγράφως αὐτὴν καὶ τὸν μοιχὸν αὐτῆς ἀποδεῖξαι, καὶ εἰ μὲν αὕτη ἡ κατηγορία, ἣν λέγει ὁ ἀνὴρ κατὰ τῆς γυναικὸς αὐτοῦ, ἀληθὴς γνωσθῇ, μετὰ τὸν χωρισμὸν τὸν ἐξ αὐτῆς μέλλει ὁ ἀνὴρ λαβεῖν καὶ τὴν προγαμιαίαν δωρεάν, ἣν πρὸς αὐτὴν ἔδωκε, καὶ τὴν προῖκα τῆς γυναικὸς ἅπασαν, ἣν ἔφερεν αὐτὴ παρὰ τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, καὶ σὺν τούτοις, εἴπερ παῖδας οὐκ ἔχουσι, τοσοῦτον μέλλει ὁ ἀνὴρ λαβεῖν ἐκ τῶν ἐξωπροίκων, εἴπερ ἔχει [b] ἡ γυνή, ὅσον ὑπάρχει τὸ τρίτον τῆς προικός. εἰ δὲ παῖδες ὑπάρχουσιν αὐτῷ, καὶ τὴν προῖκα καὶ τὴν ἄλλην ἅπασαν οὐσίαν τῆς γυναικὸς αὐτοῦ μέλλει φυλάττειν εἰς τοὺς παῖ-

(a) *Cod.* ἐπιβουλομένους (b) *Cod.* ἔχοι

2. Similiter vir recedit ab uxore sua, si uxor aliquos in regionis regem machinari sciat, idque viro suo non patefaciat, ut ille eat hoc regi nuntiaturus. Quod si vir haec regi non dicat, sed mulier hoc per aliam personam nuntiet, non potest propterea vir ab uxore sua divertendi praetextum invenire.

3. Si vir existimaverit uxorem suam adulterii convinci posse, prius ipsam vel etiam adulterum accuset oportet, et si accusatio haec, quam vir in uxorem suam intendit, vera demonstretur, divortio ab ea facto, accipiat vir et antenuptialem donationem, quam ei dedit, et dotem uxoris totam, quam ipsa ex domo patris sui adhibuit, et una cum his, si liberos non habent, tantum vir extra dotem mulierem habere contingat, lucretur, triens computatur. Si ei vero liberi sunt, et aliam mulieris substantiam liberis reservet ne-

δας αὐτοῦ. καὶ εἰ μὲν ὁ ἀνὴρ ἐλέγξοι [a] τὸν μοιχόν, κατὰ τοὺς νόμους τιμωρηθήσεται ἅμα τῇ μοιχαλλίδι. καὶ εἰ μὲν ὁ μοιχὸς ἔχει γυναῖκα, μέλλει ἡ γυνὴ αὐτοῦ λαβεῖν τὴν προῖκα αὐτῆς ἅπασαν καὶ τὴν προγαμιαίαν δωρεάν· ὥστε, εἰ παῖδας ἔχει ‖ ἡ γυνὴ τοῦ μοιχοῦ, ἐκείνη μὲν τὴν χρῆσιν μόνην ἕξοι [b] τῶν πραγμάτων [1], τουτέστι μόνην τὴν ζωήν, τὴν δὲ δεσποτείαν ἕξουσιν οἱ παῖδες αὐτῆς· ὁμοίως ἅπασα ἡ ἄλλη περιουσία τοῦ ἀνδρὸς τοῖς παισὶ φυλαχθήσεται. παίδων μὴ ὑπαρχόντων, ἡ μὲν γυνὴ μέλλει τὸ θεώρητρον [c] τὴν προγαμιαίαν δωρεὰν [d] αὐτῆς ἔχειν, τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς αὐτῆς περιουσίαν ὁ πατὴρ αὐτοῦ ἕξοι [e] [2]· εἰ δὲ πατὴρ οὐχ ὑπάρχει τῷ μοιχῷ, τῷ φίσκῳ, τουτέστι τῷ δημοσίῳ, μέλλει δοθῆναι τὸ πρᾶγμα αὐτοῦ. c. 7 A

4. Ὁμοίως διαχωρίζεται ὁ ἀνὴρ ἀπὸ τῆς γυναικὸς αὐτοῦ, εἴπερ τοῖς ἀνδράσι μὴ [f] ἁρμόζουσιν αὐτῇ συναναστραφῇ, μὴ θέλοντος τοῦτο τοῦ

(a) *Cf. II, 10.* (b) *Si ha da correggere* ἕξει *? Ma anche più oltre abbiamo:* ὁ πατὴρ αὐτοῦ ἕξοι. (c) *Cod.* θεόρυτρον (d) τὴν - δωρεὰν] *frase da espungere.* (e) *Così il Cod.* (f) *Cod.* μι

cesse est. Et si maritus adulterum convicerit, iuxta leges una cum adultera punietur. Quod si adulter uxorem habeat, haec dotem suam et antenuptialem donationem accipiat, ita tamen ut, si liberos habet, bonorum usumfructum tantum retineat, h. e. donec vixerit, et dominium liberis acquiratur: similiter universa reliqua viri substantia liberis custodiatur. Liberis autem non exstantibus, mulier theoretrum (donationem suam antenuptialem) habeat, et reliquam viri substantiam pater illius acquirat; et si adultero pater non est, fisco, h. e. aerario publico, illius bona applicentur.

4. Similiter divertit vir ab uxore sua, si ipsa cum viris ei non coniunctis, viro nolente, conversetur, convivatur aut ali-

(1) Il *Proch. Bas.* XI, 7: « μόνης τὴν « γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς « δωρεᾶς ».

(2) *Proch. Bas.* XI, 7: « παίδων μὴ « ὑπόντων, τὴν μὲν τῆς προγαμιαίας δω- « ρεᾶς δεσποτείαν τῇ γυναικὶ διαφέρειν « θεσπίζομεν, τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς « περιουσίαν πᾶσαν τῷ φίσκῳ κατὰ τοὺς « παλαιοὺς προσκυροῦσθαι νόμους ». Si noti che in questo luogo si devolve al fisco immediatamente la sostanza dell'adultero, senza far nessun cenno del padre di costui, che nel nostro *Prochiron* è preferito al fisco. La disposizione del Prochiron Basilii è tolta dalla *Nov. Iust.* 117, 8, 2.

ἀνδρὸς αὐτῆς, ἢ συμποσιάζει αὐτοῖς ἢ συμβουλεύεται· ἐὰν μὴ θελήσῃ ὁ ἀνὴρ αὐτῆς καὶ μείνῃ ἡ γυνὴ ἔξω τοῦ οἴκου αὐτοῦ· εἰ μὲν μείνῃ [a] τοῖς ἰδίοις γονεῦσιν, οὐ κατακριθῇ [b], ἐὰν ὦσι σώφρονος βίου καὶ καλῆς ὑπο-
c. 7 B λήψεως· ‖ εἰ δὲ ἀσώτως ζῆν γινώσκονται, καὶ διαμαρτύρηται αὐτῇ ὁ ἀνὴρ αὐτῆς μὴ μεῖναι μετ' αὐτῶν, διαχωρίζεται ἀπ' αὐτῆς· ἢ ἐὰν τοῖς ἱππικοῖς, ἢ θεάτροις, ἢ κυνηγίοις ἀπέλθοι ἐπὶ τῷ θεωρῆσαι, χωρὶς τῆς βουλῆς τοῦ ἀνδρὸς αὐτῆς, ἢ κωλύοντος ἐκείνου αὐτὴν τοῦ μὴ ἀπελθεῖν [1].

5. Εἰ δέ τις ἀνὴρ ἄνευ τούτων τῶν αἰτιῶν θελήσει ἐξωθῆσαι τὴν ἰδίαν γυναῖκα ἀπὸ τοῦ ἰδίου οἴκου, καὶ ἐκείνη ὡς μὴ ἔχουσα πατέρας μείνῃ [c] ὅπου δ' ἂν δυνηθῇ ὑπὸ τῆς ἀνάγκης ἀναγκαζομένη, κελεύομεν ἵνα μηδεμίαν ἐξουσίαν ἔξοι ὁ ἀνὴρ ἐκ τούτου καὶ διὰ ταύτην τὴν αἰτίαν χωρισθῆναι ἀπὸ τῆς ἰδίας γυναικός, διότι αὐτὸς ὑπῆρχεν αἴτιος τοῦ πράγματος [2].

6. Αὗται ὑπάρχουσιν αἱ αἰτίαι, δι' ὧν δικαίως δύναται ἡ γυνὴ χωρισθῆναι ἀπὸ τοῦ ἰδίου ἀνδρός, καὶ ἐξ ὧν δύναται λαβεῖν τὴν προῖκα [d]

(a) *O* μένει *o anche* μενεῖ *Cod.* μείνει (b) *Cod.* κατακριΖεῖ *Cf. XII, 12.*
(c) *Cod.* μείνει (d) *Nel margine inferiore del Cod. si legge:* προῖξ λέγεται ὅσα προσφέρει ἡ γυνὴ τῷ ἀνδρὶ αὐτῆς

quid machinetur; si etiam contra viri voluntatem extra domum ipsius maneat mulier; si vero apud parentes suos maneat, non condemnetur, cum sint honestae vitae et bonae conversationis; quod si inhoneste vivere noscantur et maritus coram testibus ab ipsa petierit, ne apud ipsos maneret, tunc separatur ab illa; vel si ludis equestribus, vel theatris, vel cynegiis interveniat spectandi causa, citra viri sui voluntatem, vel illo omnino accessum prohibente.

5. Si quis praeter has causas uxorem suam domo sua expellat, et illa parentibus orba et necessitate compulsa ubi potuerit manserit, iubemus nullam ex hac causa potestatem habere virum ab uxore sua recedendi, cum ipse rei causam praebuerit.

6. Hae sunt causae, propter quas uxor a viro suo iure separari potest, et ex quibus dotem suam et totam antenuptialem do-

(1) *Proch. Bas.* XI, 9, 10 e 11; qui però manca il brano « ἐὰν ὦσι σώφρονος « βίου – διαχωρίζεται ἀπ' αὐτῆς ».
(2) Cf. *Proch. Bas.* XI, 12.

αὐτῆς καὶ ἅπασαν τὴν προ||γαμιαίαν δωρεάν, καὶ εἴ τι ἄλλο ἐχάρισεν c. 7 c
αὐτῇ ὁ ἀνὴρ αὐτῆς πρὸ τοῦ πταίσματος, φυλαττομένης τοῖς παισὶ τῆς δεσποτείας τῶν δωρεῶν, ἤ, παῖδας μὴ ἔχουσα, ἡ γυνὴ μέλλει ἕξειν τὴν δεσποτείαν πάντων τῶν πραγμάτων (1).

7. Ἐὰν κατὰ τῆς βασιλείας ἢ ὁ ἀνὴρ βουλεύηται, ἢ γινώσκων τὸ κακὸν ἐν ἄλλοις μελετώμενον μὴ φανερώσῃ τοῦτο τῷ βασιλεῖ, ἢ ἐκεῖνος αὐτὸς ἀπελθὼν (a) ἵνα τοῦτο εἴποι, ἢ στείλας (b) αὐτὸ διά τινος προσώπου (c) (2).

8. Ὁμοίως χωρίζεται ὁ ἀνὴρ ἀπὸ τῆς γυναικός, ἐὰν ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικὸς αὐτοῦ (d), ἤ, ἄλλων τινῶν ἐπιβουλευομένων, αὐτὸς ὁ ἀνὴρ γινώσκων τὸ πρᾶγμα μὴ φανερώσῃ τῇ γυναικὶ αὐτοῦ, καὶ σπουδάσει κατὰ τοὺς νόμους ἐκδικῆσαι (3).

9. Εἰ δὲ ὁ ἀνὴρ τὴν σώφρονα αὐτοῦ γυναῖκα ἐπιβουλεύσει ἄλλοις ἀνθρώποις παραδοῦναι ἐπὶ τῷ μοιχευθῆναι, χωρίζεται ἀπ' αὐτοῦ ἡ γυνή (4).

10. Εἰ (e) δὲ ὁ ἀνὴρ ἐγγράφως κατηγορήσει τὴν ἑαυτοῦ γυναῖκα ὡς c. 7 D

(a) ἀπελθὼν] *parola supplita. Cf. III, 2.* (b) *Cod.* στείλει (c) *Cioè:* χωρίζεται ἀπ' αὐτοῦ ἡ γυνή *(cf. 9). Ma forse il testo non è lacunoso, come parrebbe a prima giunta, essendo il contenuto di questo paragrafo in diretta dipendenza da quanto è detto nel precedente.* (d) *Così il Cod.; dove piuttosto si aspetterebbe:* Ὁμοίως χωρίζεται ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρός, ἐὰν ὁ ἀνὴρ. (e) *Cod.* εἰ *(ma o rubr.)*

nationem, et si quid aliud largitus est ei vir ante peccatum, accipere, rerum donatarum dominio liberis reservato, vel, liberis deficientibus, et ipsa rerum omnium dominium habere potest.

7. Si contra regem vel ipse vir machinetur, vel sciens scelus ab aliis conceptum, hoc regi non aperiat, neque ipse profectus ut hoc diceret, neque nuncio misso.

8. Similiter recedit vir ab uxore, si ipse uxoris vitae insidiatus fuerit, vel, aliis insidias struentibus, maritus rem sciens mulieri non aperuerit neve secundum leges vindicare sategerit.

9. Si maritus honestam uxorem suam aliis hominibus adulterii committendi causa tradere constituerit, ab illo mulier divertat.

10. Si maritus adulterii in scriptis uxorem accusaverit neque

(1) La frase « καὶ εἴ τι ἄλλο ἐχάρισεν » &c. manca nel *Proch. Bas.* XI, 13, che parla soltanto della dote e della « διὰ τοὺς γάμους δωρεᾶς ».

(2) Cf. *Proch. Bas.* XI, 14.

(3) Cf. *Proch. Bas.* XI, 15.

(4) Cf. *Proch. Bas.* XI, 16.

μοιχείαν ποιήσασαν, καὶ μὴ δυνηθῇ ἀποδεῖξαι τὴν μοιχείαν, εἰ θελήσει ἡ γυνὴ ἐκ ταύτης τῆς αἰτίας χωριζέσθω ἀπὸ τοῦ ἰδίου ἀνδρὸς καὶ λαμβανέτω τὴν ἰδίαν προῖκα καὶ τὴν προγαμιαίαν δωρεὰν ὑπὲρ τῆς τοιαύτης συκοφαντίας· εἰ δὲ παῖδας οὐκ ἔχει ἐκ τοῦ συκοφάντου αὐτῆς ἀνδρός, προστάσσομεν ἵνα λάβοι τοσοῦτον ἐκ τῆς ἄλλης περιουσίας τοῦ ἀνδρὸς αὐτῆς, ὅσον γινώσκεται τὸ τρίτον ὑπάρχειν τῆς προγαμιαίας δωρεᾶς· εἰ γὰρ παῖδας ἔχει, κελεύομεν τὴν περιουσίαν τοῦ ἀνδρὸς ἅπασαν ἵνα φυλάξοι εἰς τοὺς παῖδας, ἀλλ' ὅμως ἵνα ἡ γυνὴ ἀδιστάκτως κυριεύσῃ (a) τὴν προγαμιαίαν δωρεάν, καθὼς περιλαμβάνεται ἐν τοῖς ἄλλοις νόμοις (1). καὶ
c. 8 A τοῦτο οὐ δι' ἄλλο τι ἐστέρχθη αὐτῇ, εἰ μὴ δι' ἐπαχθεῖσαν αὐ||τῇ συκοφαντίαν τῆς μοιχείας, ἥντινα μὴ δυνάμενος ὁ ἀνὴρ ἐπιδεῖξαι, ἐκείναις ταῖς τιμωρίαις αὐτὸν ἐπιβαλέσθαι κελεύομεν, ἐν αἷς ἤμελλε (b) θέσθαι τὴν γυναῖκα αὐτοῦ, εἴπερ τὴν μοιχείαν ἐδείκνυεν (2).

11. Ἐὰν ὁ ἀνὴρ εἰσαγάγοι ἄλλην γυναῖκα ἐν τῷ οἴκῳ, ἐν ᾧ μένει μετὰ τῆς ἰδίας γυναικός, ὡς καταφρονῶν αὐτῆς, ἢ κατὰ τὴν αὐτὴν πόλιν εἰς ἄλλον οἶκον χειροκρατήσει αὐτήν, καὶ συνεχῶς ἐλεγχθῇ ἢ παρὰ τῶν

(a) *Cod.* κηριεύση (b) *Cod.* ἤμελλον

adulterium commissum probaverit, uxor, si velit, ex hac causa a viro suo recedat et hanc propter calumniam dotem suam et antenuptialem donationem recipiat; et si liberos ex calumniatore viro suo non habeat, iubemus tantum ex reliqua viri substantia consequi, quantum tertia antenuptialis donationis pars esse cognoscatur; quod si liberos habeat, iubemus totam viri substantiam liberis custodiri, ipsamque mulierem absque contradictione antenuptialem donationem lucrari, prout in aliis legibus praescribitur: et hoc ob nil aliud indulgetur ei, nisi ob institutam in eam adulterii calumniam, quam si vir probare non potuerit, ipsum iisdem poenis subiacere iubemus, quibus uxorem mulctari cupiebat, si adulterium ostendisset.

11. Si vir in domum, in qua cum uxore sua habitat, in istius contemptum aliam mulierem adducat, vel in eadem urbe in alia domo eam custodiat, et constanter aut ab uxoris suae parentibus

(1) Il *Proch. Bas.* XI, 17 rinvia semplicemente alle disposizioni contenute nelle altre leggi: « βεβαίων μενόντων « τῶν περὶ τῆς προγαμιαίας δωρεᾶς, τῶν « τοῖς ἄλλοις περιερχομένων νόμοις ».

(2) Cf. *Proch. Bas.* XI, 17.

γονέων τῆς γυναικὸς αὐτοῦ ἢ δι' ἑτέρων ἀξιοπίστων μαρτύρων, καὶ μὴ βουληθῇ ἀποστῆναι ἀπὸ τοῦ πταίσματος, δύναται ἡ γυνή, εἰ θελήσει, καὶ ἀπὸ ταύτης τῆς αἰτίας διαχωρισθῆναι ἀπὸ τοῦ ἰδίου ἀνδρός, καὶ ἀναλαμβάνειν τὴν δοθεῖσαν παρ' αὐτῆς προῖκα καὶ τὴν προγαμιαίαν δωρεάν, καὶ ὑπὲρ τῆς ‖ τοιαύτης ὕβρεως ὅσον διατιμηθῇ τὸ τρίτον τῆς c 8 B
προικὸς αὐτῆς (1) λαβεῖν ἐκ τῆς περιουσίας τοῦ ἀνδρὸς αὐτῆς· ἀλλ' ὅμως ἐν τοιούτῳ λόγῳ, ὡς, εἰ μὲν παῖδας ἔχει ἡ γυνή, τὴν χρῆσιν μόνην ἔχειν τῶν πραγμάτων (2), τῆς δεσποτείας εἰς τοὺς κοινοὺς παῖδας φυλαττομένης· εἰ γὰρ παῖδας οὐκ ἔχει ἡ γυνὴ ἐκ τοῦ τοιούτου ἀνδρός, προστάττομεν ἵνα ἔχοι αὐτὴ καὶ τὴν δεσποτείαν τῶν τοιούτων πραγμάτων.

12. Εἰ δέ τις στρατιώτης ὑπάρχει, ἢ κατάσκοπος τῶν λῃστῶν, ἢ σχολάριος ἀξίᾳ τετιμημένος, εἴτε ἄλλος τις συντεταγμένος τῇ τάξει τῶν στρατιωτῶν (3), οἱ τοιοῦτοι ὅσους χρόνους ἐν τῷ φουσσάτῳ (4) διατρί-

aut ab aliis fide dignis testibus incusetur, nec a probro recedat, uxor et hanc ob causam, si velit, a viro separari, et dotem ab se allatam et antenuptialem donationem accipere et insuper, propter hanc iniuriam, ex viri substantia quantum tertia dotis pars aestimatur exigere potest; ita tamen, ut, si liberos mulier habet, rerum usumfructum tantum accipiat, dominio communibus liberis reservato; si vero mulier liberos ex hoc viro non habet, statuimus ipsam et dominium horum bonorum lucrari.

12. Quotquot annos illi, qui milites sunt, aut latronum exploratores, aut scholares dignitate honorati, aut militum ordini ad-

(1) Il *Proch. Bas.* XI, 18 (corrispondente all' *Epanag.* XXI, 6, ed alla *Nov. Iust.* 117, 9, 5) dà alla moglie il diritto di prendere in questo caso, oltre la dote e la « donatio », dalle sostanze del marito « τὸ τρίτον μέρος τῆς διατιμήσεως, « ἣν ἡ προγαμιαία ποιεῖ δωρεά », mentre il nostro le attribuisce il terzo del valore della dote.

(2) Il *Proch. Bas.* loc. cit. spiega: « τῶν « πραγμάτων, ἅπερ ἐκ τῆς προγαμιαίας « δωρεᾶς καὶ τῆς ποινῆς τοῦ τρίτου μέρους « τῆς τοῦ ἀνδρὸς περιουσίας λάβοι ».

(3) Il *Proch. Bas.* XI, 19 (corrispondente all' *Epanag.* XX, 7 ed alla *Nov. Iust.* 117, 11), invece del « κατάσκοπος « τῶν λῃστῶν » del nostro, ha « φοιδεράτοι » (« foederati »), parola che dal nostro è tralasciata e sostituita con quell'altra, non senza ragione. Ad illustrazione dell'altra frase usata dal nostro: « ἄλλος τις συντεταγμένος τῇ τάξει « τῶν στρατιωτῶν », che manca del pari nelle fonti ricordate, cf. il seguente luogo delle *Consuetudini di Bari*, XLVIII, 1: « Cum maritus taxidio « vel exercitu commorans noscitur « elongatus », presso G. PETRONI, *Storia di Bari*, II, 590.

(4) *Proch. Bas.* loc. cit.: « ἐν ἐξπεδίτῳ ».

βουσιν, ἀνάγκη ἐστὶν ἵνα αἱ γυναῖκες αὐτῶν περιμένωσιν αὐτούς, καὶ μὴ ἐχέτωσαν ἄδειαν χωρίζεσθαι ἀπ' αὐτῶν καὶ ἄλλους ἄνδρας λαβεῖν (1).
c. 8 c εἰ δέ τις γυνὴ τῶν ‖ προειρημένων ἀνδρῶν ἀκούσει ὅτι ἐτελεύτησεν ὁ ἀνὴρ αὐτῆς, οὐδὲ τότε δύναται ἄλλον ἄνδρα λαβεῖν, ἀλλὰ μέλλει ἡ γυνὴ ἢ ἐκείνη αὐτὴ ἀπελθεῖν εἰς τοὺς κρατοῦντας τὰ σχέδη τῶν καβαλλαρίων (2), ἢ στεῖλαί τινα τῶν ἰδίων γονέων, ἢ ἄλλο πρόσωπον, ἵνα μάθῃ παρὰ τῶν λιγαταρίων καὶ τριβούνων μεθ' ὧν ὁ ἀνὴρ αὐτῆς ἐστρατεύετο, εἰ (a) ἄρα ὁ ἀνὴρ αὐτῆς ἐτελεύτησε, καὶ διὰ ὅρκου παρ' ἐκείνων γενομένου (3) ἵνα πληροφορηθῇ, ὡς ὅτι ὁ ἀνὴρ αὐτῆς ἐτελεύτησεν. ἀλλ' οὐ παρευθὺς πρέπει ἵνα ἐπάρῃ ἄλλον ἄνδρα, ἀλλ' ἵνα περιμένῃ χρόνον τέλειον, καὶ τότε ἀκωλύτως δύναται λαβεῖν ἄλλον ἄνδρα. εἰ δέ τις γυνὴ οὐχ οὕτως ποιήσει, ἀλλὰ τολμῶσα ἕτερον λάβοι ἄνδρα, προστάσσομεν ἵνα καὶ αὐτὴ καὶ ὁ δεύτερος ἀνὴρ αὐτῆς ὡς μοιχοὶ τιμωρηθῶσιν. εἰ δὲ
c. 8 D οἱ ὀμώσαντες τῇ γυναικὶ ὅτι ‖ ἐτελεύτησεν ὁ ἀνὴρ αὐτῆς, μετὰ καιρὸν

(a) *Cod.* ἢ

scripti, in castris commorati fuerint, necesse est, ut mulieres eorum ipsos exspectent neque licentiam habeant ab ipsis recedendi et alios viros accipiendi. Si qua vero mulier praedictorum virorum maritum suum obiisse audierit, ne tunc quidem alio viro nubat, sed aut ipsa mulier caballariorum agminibus imperantes adire aut aliquem parentum suorum vel aliam personam mittere debet, ut discat ab ligatariis et tribunis, quibuscum maritus eius militabat, num revera maritus mortuus sit, et per iusiurandum ab illis factum ostendatur maritum obiisse. Sed haud decet illam statim alium virum accipere, sed exspectet annum impletum, et tunc impune alio viro nubat. Si qua mulier non ita sese gesserit et alium virum ducere auserit, et ipsam et alterum illius maritum tanquam adulteros puniri iubemus. Quod si qui iureiurando mulieri testati sunt virum illius obiisse, postea falsum iusiurandum dixisse con-

(1) In luogo di quest'ultima proposizione, il *Proch. Bas.* loc. cit. ha: « κἂν « μὴ γράμματα ἢ ἀπόκρισίν τινα παρὰ « τῶν ἰδίων ἀνδρῶν δέξωνται ».

(2) Questa frase: « τοὺς κρατοῦντας τὰ « σχέδη τῶν καβαλλαρίων » (« imperantes « agminibus equitum ») manca nelle fonti citate nelle note precedenti.

(3) Il Prochiron Basilii e le altre fonti citate hanno: « ὥστε ἐκείνους τῶν « ἁγίων εὐαγγελίων προκειμένων ἐπὶ πρά- « ξεως ὑπομνημάτων καταθέσθαι ».

ἐλεγχθῶσιν ὡς πλαστὸν καὶ φάλσσον [a] ὅρκον ἐποίησαν, προστάσσομεν ἵνα γυμνωθέντες ἐκ τῆς αὐτῶν στρατείας ἀναγκασθῶσι καταβαλεῖν δέκα λίτρας χρυσίου τῷ νομιζομένῳ ἀποθαμμένῳ [b], καὶ μετὰ ταῦτα, εἰ θέλει, τὴν ἰδίαν λαμβανέτω γαμετήν [1].

13. Ἐπειδὴ εἴδομεν πολλοὺς ἀνθρώπους κατὰ νόμον συναφθέντας ἐν τῷ παρόντι βίῳ, καὶ ἐν ἀγάπῃ πολλῇ καὶ ἀγαθῇ πολὺν καιρὸν ζῶντας, ὥστε καὶ παῖδας γεννᾶσθαι ἐκ τοῦ τοιούτου γάμου, καὶ εἰς μέγαν βίον πλατυνθέντας, μετὰ ταῦτα δὲ ἀπό τινος συντυχίας κακῆς, ἢ ἐκ τοῦ οἴκου αὐτοῦ γεναμένης, ἢ [c] ἔξωθεν παρά τινων ἐχθρῶν, ὥστε πολλάκις, εἰς μῖσος μέγα ἐγείρεσθαι καὶ ἀπό τινος μικροῦ σπινθῆρος εἰς μεγάλην φλόγα ἔχθρας παρὰ τοῦ δαίμονος ἀνάπτεσθαι, καὶ τοσοῦτον, ὅτι ὁ εἷς ζητεῖ τὸν θάνατον τοῦ ‖ ἑτέρου, διὰ τοῦτο δὴ προστάσσομεν τοὺς c. 9 A
τοιούτους οὐχ οὕτως διαχωρισθῆναι [d], ὡς καὶ τοὺς πταίσαντας εἴπομεν, ἀλλὰ χωρὶς ποινῆς καὶ τιμωρίας τινὸς ἀπ' ἀλλήλων διαχωρισθῆναι καὶ ζῆν [e] βίον ἐφεξῆς εἰρηναῖον καὶ ἄζυγον διανύειν [f] [2].

(a) *Così il Cod.* (b) *Così il Cod.* (c) *Questa congiunzione manca nel Cod.*
(d) *Cod.* διαχωρισθεῖναι (e) *Cod.* ζεῖν (f) *Cod.* διάνοίειν

vincantur, volumus, ut ipsi militia eorum exuti decem auri libras ei, quem mortuum affirmaverant, solvere adigantur, et deinde (ille), si velit, uxorem suam recipiat.

13. Cum videamus complures iuxta legem in hac praesenti vita coniunctos magno atque honesto amore multum tempus vivere, et liberos ex tali matrimonio procreare atque ad magnam vitam aspirare, postea vero mala aliqua infelicitate, sive in domo ipsa exorta, sive, ut plerumque assolet, extrinsecus ab inimicis (illata), ad magnum odium incitari, et ex parva favilla magnum inimicitiae incendium a daemone accendi, ita ut alter alterius mortem quaerat; propterea statuimus tales personas non eo modo separari, qualem peccantibus praescripsimus, sed absque poena aliqua sive multa alterum ab altera recedere et vitam deinde tranquillam ac matrimonii vinculo solutam agere.

(1) Cf. *Proch. Bas.* XI, 19, 20, 21, corrispondente all'*Epanag.* XXI, 7.

(2) Questo capo corrisponde all'*Epanag.* XXI, 4 (cf. anche *Ecl. priv. auct.* II, 10), dove lo ZACHARIAE fa questa nota: « Hoc caput videtur continere

Τίτλος δ'.

Περὶ τῆς καταγραφείσης προικὸς καὶ μὴ ἐπιδοθείσης καὶ περὶ δικαίου προικός.

1. Ἐάν τις ὁμολογεῖ ἐγγράφως ἢ χωρίς τινος γραφῆς ὅτι ἐδέξατο τὴν προῖκα τῆς γυναικὸς αὐτοῦ, καὶ ὑπὸ ἀμελείας ἢ ἀγνοίας αὐτοῦ μὴ ζητήσῃ ταύτην, μείζων ὑπάρχων τῶν κε' ἐτῶν ἐξουσίαν ἐχέτω ἄχρι ε' ἐτῶν ἄλλων ταύτην ἐπιζητεῖν καὶ λαβεῖν ταύτην, εἴγε δύνανται οἱ γονεῖς τῆς γαμετῆς αὐτοῦ ταύτην δοῦναι. εἰ δὲ μὴ τοῦτο ποιήσει [a], αὐτὸς μέλλει δοῦναι αὐτὴν τῇ γυναικὶ αὐτοῦ ἢ τοῖς παισὶν αὐτοῦ, εἰ τελευτήσει.
c. 9 B εἰ δὲ ‖ μικρότερος ὑπάρχει ὁ ἀνὴρ τῶν κε' ἐτῶν, μετὰ τὴν πλήρωσιν τῶν κε' ἐτῶν, καὶ ἑτέρων ε' χρόνων ἐχέτω δροθεσμίαν ἵνα ζητήσῃ τὴν προῖκα τῆς γυναικός, περὶ ἧς ἐποίησε τὴν ἀπόδειξιν ὅτι ἐδέξατο αὐτήν. εἰ δὲ καὶ οὗτοι οἱ ε' χρόνοι διαβαίνουσι καὶ μὴ ἐπιζητήσῃ ταύτην, μὴ

(a) *Cod.* ποιήσει *La postilla interlineare sembra della stessa mano.*

Titulus IV.

De dote scripta et non numerata et de iure dotis.

1. Si quis in scriptis vel sine aliqua scriptura uxoris suae dotem se accepisse fatetur, et eam negligentia vel ignorantia non requirit, maior .xxv. annis potestatem habeat usque ad .v. alios annos eam requirendi et accipiendi, siquidem uxoris parentes illam praestare possint. Si hoc facere neglexerit, ipse illam uxori suae aut liberis suis, si morietur, dare teneatur. Quod si minor maritus .xxv. annis sit, post .xxv. annos expletos, et .v. aliorum annorum spatium habeat ad uxoris dotem requirendam, de qua apodixam fecit se illam accepisse. Sin autem, his quoque .v. annis transactis, illam non quaesierit, postea nullam facultatem habeat actionem non numeratae pecuniae intendendi, h. e. potestatem non habeat

« Novellam anterioris cuiusdam impe-
« ratoris: integriorem edidi in *Wiener*
« *Jahrbücher der Literatur*, LXXXVI,
« 208 sq. ». Fu poi da lui riprodotta nelle *Novellae constitutiones*, in *Ius graeco-romanum*, III, 61 sg. Si trova anche nel cod. Paris. 1384, c. 171 A.

ἐχέτω μετὰ ταῦτα ἄδειαν κινεῖν τὴν περὶ ἀναργυρίας ἀγωγήν, τουτέστι μὴ ἐχέτω ἐξουσίαν ἵνα ἐγκαλέσῃ κατὰ τοῦ πενθεροῦ αὐτοῦ τοῦ λαβεῖν ἀπ' αὐτοῦ τὴν προῖκα, περὶ ἧς ἐποίησεν αὐτῷ ἀπόδειξιν δέχεσθαι [a] αὐτήν· ἀλλ' αὐτὸς μέλλει δοῦναι αὐτὴν τῷ μέρει τῆς γυναικὸς αὐτοῦ, καθὼς αὐτὸς ὡμολόγησεν ἐν τῇ ἀποδείξει [b] ὅτι ἐδέξατο αὐτήν [1].

2. Ἐάν τις γυνὴ φέρῃ προῖκα τῷ ἀνδρὶ αὐτῆς καί, ὡς πολλάκις γίνεται, συμβῇ [c] καὶ [d] πίπτει ὁ ἀνὴρ αὐτῆς ὑπὸ συμφορᾶς τινος εἰς ζημίαν τοῦ βασιλέως τῆς χώρας, ἢ δανειστῶν ἢ ἑτέρων τινῶν ‖ προσώπων, c. 9 c
καὶ τελευτήσει πρὸ τοῦ ἀποδοῦναι τὰ χρέη [e] ὁ ἀνὴρ αὐτῆς, μὴ ἐχέτω ἄδειαν μήτε τὸ δημόσιον μήτε τις δανειστὴς ἀπελθεῖν εἰς τὸν οἶκον τῆς γυναικὸς τῆς χήρας καὶ λαβεῖν τι ἐκ τῶν πραγμάτων τοῦ ἀνδρός, μέχρις ὅτου ἡ γυνὴ πρῶτον λάβοι τὴν προῖκα, ἣν ἔφερε παρὰ τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, καὶ μετὰ ταῦτα κελεύομεν τὰ περισσευόμενα ἵνα μοιράσωσιν οἱ δανεισταὶ κατὰ ἀναλογίαν αὐτῶν [2].

(a) *Cod.* δεχέσθω (b) *Cod.* ἀποδείξη (c) *Cod.* συμβεῖ (d) *Così il Cod. Si ha da leggere* ὡς? (e) *Così il Cod.*

in socerum agendi ut ab illo dotem recipiat, quam illi apodixa sua acceptam retulit; sed ipse illam parti uxoris suae praestare teneatur, secundum id quod ipse in apodixa recepisse professus est.

2. Si qua mulier dotem viro eius afferat et, uti plerumque assolet, contingat, ut vir ipsius adverso quodam casu aes alienum contrahat erga regem regionis aut erga creditores aut alias personas, et idem vir, priusquam aes alienum solvat, moriatur, neque aerarium neque creditorum quispiam licentiam habeant domum mulieris viduae invadendi et aliquid ex viri substantiis accipiendi, donec mulier dotem, quam e domo patris sui adduxit, prius acceperit, et postea iubemus quae supersunt pro rata inter creditores dividi.

(1) *Ecl.* III, 1: « Ὁ ὁμολογῶν ἐγγρά- « φως ἢ ἀγράφως ὑποδέξασθαι προῖκα καὶ « μὴ πληρούμενος αὐτὴν, μείζων ὢν τῶν « κε' ἐτῶν ἄδειαν ἔχει μετὰ τὸν γάμον μέχρι « πενταετοῦς χρόνου καὶ μόνον ταύτην ἐπι- « ζητεῖν καὶ ἐντελῶς κομίζεσθαι ».

(2) L'*Ecl.* III, 2 ha: « ἐὰν συμβῇ- « τὸν ἄνδρα ὑποπεσεῖν εἰς ζημίας ἢ χρέη « εἴτε τῷ δημοσίῳ εἴτε ἑτέρῳ ὁήποτε προ- « σώπῳ ».

Τίτλος ε'.

Περὶ δωρεῶν ἁπλῶν, ἤγουν ἀπεντεῦθεν ἔχειν τὸ βέβαιον, ἢ διὰ χρήσεως καὶ δεσποτείας αὐτῶν(a) *ἢ μετὰ θάνατόν τισι καταλιμπανομένων, καὶ περὶ τῶν αἰτιῶν ἐξ ὧν αἱ δωρεαὶ ἀνατρέπονται.*

1. Τότε ἡ ἄγραφος καὶ ἁπλῆ δωρεὰ ἀποπληροῦται, ὅτε ἐκεῖνος ὁ βουλόμενος χαρίσαι ὑπάρχῃ κε' χρόνων (1), παρόντων ε' ἢ καὶ τριῶν μαρτύρων· πέντε γὰρ μάρτυρας θέλει εἰς τόπον, ἐν ᾧ λαὸς πέφυκε (2), τρεῖς
c. 9 D δὲ μάρ|τυρας θέλει εἰς τόπον ἔρημον, καὶ μὴ εὑρισκομένου τοῦ μέτρου τῶν πέντε μαρτύρων.

2. Ἡ δὲ ἔγγραφος ἁπλῆ δωρεὰ τότε συνίσταται, ὅτε ὑπὸ τοῦ ἄγοντος τὴν τελείαν ἡλικίαν, τουτέστι κε' ἔτη, συνταχθῇ ἡ γραφή, ε' ἔχουσα

(a) *Così il Cod., ma più esattamente l'Ecl. isaur. IV ha:* περὶ δωρεῶν ἁπλῶν, ἤγουν ἀπεντεῦθεν ἤδη χρήσεως καὶ δεσποτείας πραγμάτων ἢ δεσποτείας αὐτῶν μόνον, ἢ μετὰ θάνατον.

Titulus V.

De donationibus simplicibus, i. e. statim firmitatem habentibus, sive usufructu et proprietate sive post mortem alicui relictis, et de causis ex quibus donationes rescinduntur.

1. Tum perficitur, scriptura non interveniente, simplex donatio, cum ille, qui donare vult, .xxv. annorum sit, praesentibus .v. vel etiam tribus testibus: quinque enim testes requirit in loco, ubi populus frequens adest, tres autem testes requirit in loco deserto et ubi quinque testium numerus inveniri non potest.

2. Scriptura autem interveniente, tum fit simplex donatio, cum ab eo, qui perfectam agit aetatem, h. e. .xxv. annos, scri-

(1) L'*Ecl.* IV, 1 ha: « ὅταν τις τῶν « ἐντελῶν χρόνων ὑπάρχων »; l'*Ecl. priv. auct.* IV, 3: « ὅτε τις τῶν ἐντελῶν « ὑπάρχων χρόνων »; così anche l'*Ecl. ad Proch. mutata,* V, 1.

(2) Questa frase non si riscontra nelle fonti citate nella nota precedente, le quali hanno: « εἰς τόπους « συνισταμένους καὶ εὑρισκομένων ἀνθρώ- « πων ».

μαρτύρων ἢ τριῶν [1] ὑπογραφάς, κατὰ τὸν προειρημένον τρόπον καὶ σκοπόν.

3. Εἰ δέ τις ἄνθρωπος ποιήσει δωρεὰν ἄλλῳ [a] τινὶ ἐν τοιούτῳ στοιχήματι, ἵνα αὐτὸς κρατήσῃ τὸ πρᾶγμα μέχρις ἂν ζῇ, καὶ μετὰ τὸν θάνατον αὐτοῦ ἵνα ἀναλάβοι αὐτό, καὶ ἀπὸ τότε τὴν δεσποτείαν μόνην χαρίζει αὐτῷ, καὶ ἡ τοιαύτη δωρεὰ [2] μέλλει γενέσθαι ἐνώπιον ε' ἢ τριῶν μαρτύρων, καθὼς προείπομεν.

4. Καὶ ἡ διὰ προσδοκίαν τοῦ θανάτου γινομένη δωρεά, μετὰ τὴν τελευτὴν τοῦ χαρίζοντος τὸ βέβαιον ἔχουσα, καὶ αὕτη ἡ δωρεὰ γίνεται καθὼς ἀνωτέρως [b] δεδήλωται, ὑπὸ ε' ἢ τριῶν μαρτύρων ἡ γραφὴ τῆς δωρεᾶς κεκυρωμένη οὖσα [c] [3].

5. Εἰ δὲ ὁ αὐτὸς ὁ τὴν δωρεὰν ποιησάμενος ἐλθὼν εἰς θάνατον ποιήσει διαθήκην καὶ οὐκ ἀναστρέφει τὴν δωρεὰν μεταμεληθείς, καὶ αὕτη ἡ δωρεὰ βεβαία ὑπάρχει, ἀλλ' οὖν μέλλει ὁ ποιήσας τὴν διαθήκην ἵνα μνημονεύσει τῆς δωρεᾶς ἐν τῇ διαθήκῃ αὐτοῦ [4]. c. 10 A

(a) *Cod.* ἄλλο (b) *Così il Cod.* (c) *Così il Cod.*

ptura .v. vel trium testium subscriptiones habens composita sit, iuxta modum et intentionem praedictam.

3. Si quis alicui donationem hac lege fecerit, ut ipse, donec vixerit, rerum possessionem retineat, et post mortem suam res ille accipiat, et ex tunc proprietatem solam ei largiatur, haec quoque donatio coram .v. vel tribus testibus, uti praediximus, fieri debet.

4. Et propter mortis exspectationem facta donatio, post donantis obitum firmitatem habitura, et haec ipsa donatio fit uti supra declaratum est, (nempe) a .v. vel tribus testibus donationis scriptio confirmatur.

5. Si is, qui donationem fecit, morti proximus, testamentum scripserit et donationem, mutato consilio, non revocaverit, et haec ipsa donatio firma permanet, modo qui testamentum condit in ipso donationis mentionem faciat.

(1) L'*Ecl.* IV, 2 aggiunge: « ἐπὶ « τούτῳ προσκληθέντων ».

(2) Oltre a diversi cambiamenti apportati nella forma all'*Ecl.* IV, 3, in questo punto il nostro tralascia la voce « ἐγγράφως ».

(3) *Ecl.* IV, 4: « γίνεται καὶ αὕτη « (δωρεὰ) - διά τε τοῦ δωρουμένου « καὶ ε' ἢ γ' μαρτύρων ὑπογραφῆς συμ- « πληρουμένη ».

(4) *Ecl.* IV, 5: « Εἰ δὲ αὐτὸς ὁ δωρού- « μενος διατάξηται ἐγγράφως ἐν τῇ αὐτῇ

6. Πᾶσα δὲ δωρεὰ διὰ τοιαύτας αἰτίας ἀνατρέπεται· εἴ ποτε καιρῷ ἐκεῖνος ὁ λαβὼν τὴν δωρεὰν ἀχάριστος φανεῖ εἰς ἐκεῖνον (a), ὅστις ἐχάρισεν αὐτῷ τὸ πρᾶγμα αὐτοῦ, ἢ ἐὰν ὕβρεις σκληρὰς καὶ τραχείας ἐπαγάγῃ αὐτῷ, ἢ κρούσῃ αὐτόν, ἢ μεγίστην ζημίαν ἐπιφέρει αὐτῷ, ἢ κατὰ τῆς ζωῆς αὐτοῦ ἐπιβουλεύσει, ἢ μὴ πληρώσῃ ὁ τὴν δωρεὰν δεξάμενος τὰ συμφωνηθέντα ἐγγράφως ἢ ἀγράφως. εἰ γὰρ μία αἰτία τούτων τῶν αἰτιῶν δειχθῇ ἐνώπιον τοῦ δικαστηρίου ὡς βεβαία οὖσα, ἀνατρέπεται ἡ
c. 10 B δωρεά, καὶ λαμβάνει τὸ δῶρον ὁ τοῦτο ποιησάμενος (1).

7. Οὐχὶ πᾶσαι αἱ δωρεαὶ ὑπάρχουσιν ὅμοιαι, ἀλλ' αἱ μὲν γὰρ ἐκ τούτων εἰσὶν ἐν τῇ ζωῇ καὶ ἐν τῇ ζωῇ τοῦ ἀνθρώπου τὴν εὐεργεσίαν καὶ τὴν χάριν ὁμολογοῦσιν, αἵτινες ἁπλαῖ καὶ ἀπεντεῦθεν λέγονται, ἄλλαι δὲ ἐξ ἐναντίας τούτων γίνονται μετὰ τὸν θάνατον τοῦ τὴν δωρεὰν ποιοῦντος τὴν πλήρωσιν ἔχουσαι, αἵτινες μόρτις καῦσα λέγονται, τουτέστιν αἰτίᾳ θανάτου γινόμεναι· πρὶν γὰρ τελευτήσει ὁ τὴν δωρεὰν ποιῶν, οὐχ ἕξει

(a) *Cod.* ἐκεῖνο

6. Omnis donatio has ob causas rescinditur: si is, qui donationem accipit, aliquando in illum, qui rem suam largitus est ei, ingratus sit, vel si duras atrocesque iniurias illi inferat, aut illum verberet, aut maximo damno afficiat, aut vitae illius insidias struat, aut si is, qui donationem accipit, pacta in scriptis vel citra scripturam conventa non impleat. Si enim una harum causarum in iudicio firma probatur, rescinditur donatio, et qui donum fecit illud resumit.

7. Non omnes donationes similes sunt; earum enim aliae inter vivos fiunt et in hominis vita beneficium gratumque animum profitentur, quae simplices et confestim factae dicuntur; aliae autem e contrario, ut post donantis obitum perfectionem nanciscantur, fiunt, quaeque mortis causa, h. e. αἰτίᾳ θανάτου factae dicuntur; priusquam enim donans decedat, donum is, in quem

« δωρεᾷ αὐτοῦ μὴ μεταμεληθῆναι ἢ διαστρέψαι τὴν τοιαύτην δωρεὰν, ταύτην εἶναι κεκυρωμένην, μόνον ἵνα δηλωθῇ ἡ διάταξις αὐτοῦ καὶ ἐν τῷ ὕφει καὶ ἐν τῇ ὑπογραφῇ αὐτοῦ ». Cf. *Ecl. priv. auct.* IV, 6.

(1) Cf. *Ecl.* IV, 6.

ταύτην ἐν ᾧ αὕτη γίνεται, διότι ἡ δωρεὰ οὐκ ἐγένετο ἀπεντεῦθεν, ἀλλὰ μετὰ θάνατον αὐτοῦ (1).

8. Αἱ δὲ δωρεαὶ πάλιν αἵτινες γίνονται ἐν τῇ ζωῇ τοῦ δωρουμένου, ἄλλαι μὲν ὑπάρχουσιν ἐξ αὐτῆς τῆς ὥρας καὶ τοῦ καιροῦ ἐκείνου τὸ τέλος λαμβάνουσιν (a), καί, ὡς εἰπεῖν, ἀπεντεῦθεν τὴν παράδοσιν ἔχουσι, καὶ ἡ δεσποτεία καὶ ἡ χρῆσις τοῦ πράγματος, εἴτε κινητὸν ‖ ὑπάρχει εἴτε c. 10 c
ἀκίνητον, ἀπὸ τοῦ δωρουμένου πρὸς ὃν χαρίζει μεταβαίνει, εἰ μὴ ἀλλαγὴ τότε λογισμοῦ γίνεται (2)· ἄλλαι δέ εἰσιν ὑπὸ αἵρεσιν διδόμεναι (b), τουτέστιν ὑπὸ σύμφωνον ἐν διαφόροις τόποις καὶ χρόνοις τὴν κυριότητα (c) (3), καὶ οὕτως ὥσπερ ἂν ὁ δωρούμενος εἴποι.

9. Ἡ δὲ μετὰ θάνατον δωρεὰ τοιαύτην φύσιν ἔχει, ὅτι ὁ τὴν δω-

(a) καὶ τοῦ καιροῦ - λαμβάνουσιν] *così il Cod. Si ha da leggere* λαμβάνουσαι *?*
(b) *Cod.* διδόμενα (c) *Si ha da supplire* λαβεῖν *?*

collatum, non habebit, cum donatio non statim sed post mortem illius facta sit.

8. Donationum vero, quae in vita donantis fiunt, aliae ab ipsa hora, qua factae, consistunt, et a tempore illo firmitatem consequuntur (?), et statim, uti dicitur, traditionem recipiunt, reique, sive mobilis sive immobilis sit, proprietas et usus a donante ad illum, cui donatur, transit, nisi mutatio rationis tunc interveniat (?); aliae autem sub conditione datae sunt, h. e. sub contractu variis locis et temporibus potestatem (accipiendi), prout donator dixerit.

9. Donatio post mortem huiusce naturae est, ut donator

(1) Cf. *Proch. Bas.* XII, 1, che riferisco, per far notare come il nostro ne abbia del tutto mutato la forma: « Τῶν δω-« ρεῶν αἱ μέν εἰσιν ἐν ζωῇ γινόμεναι καὶ « πρὸς ζωὴν τὴν χάριν καὶ τὴν εὐεργεσίαν « γνωρίζουσαι καὶ τὴν εὐγνωμοσύνην ἐπι-« ζητοῦσαι· αἱ δὲ ἐν αἰτίᾳ θανάτου γινό-« μεναι, καὶ μετὰ τὸν ὡς εἰπεῖν αἴτιον ταύ-« της τῆς δωρεᾶς θάνατον τὴν περαίωσιν « καὶ τὴν βεβαίωσιν ἔχουσαι. πρὸ γὰρ τοῦ « τελευτῆσαι τὸν δωρησάμενον οὐδὲν ἕξει ὁ « τὴν δωρεὰν κατέχων ἐκ τοῦ δωρηθέντος « κτήματος, διότι πρόσκειται τὸ μετὰ θά-« νατον ». A questo capo lo ZACHARIAE, p. 83, fa la seguente nota: « In-« terpretes, nec tamen satis apte, lau-« dant *Dig.* XXXIX, 5, 1. Ego hoc « et sequens caput ex προθεωρίᾳ aliqua « graeci interpretis sumta esse cre-« diderim ».

(2) *Proch. Bas.* XII, 2: « μηδενὸς « ἔξωθεν ἄλλου λογισμοῦ παρακολουθοῦν-« τος ἢ προσκειμένου ἢ προσδιοριζομέ-« νου ». La frase del nostro non pare che abbia senso.

(3) *Proch. Bas.* loc. cit.: « δια-« φόροις τόποις καὶ χρόνοις εἰδοποιούμε-« ναι ».

ρεὰν ποιῶν μᾶλλον ἀγαπᾷ ἑαυτὸν ἢ [a] ἐκεῖνον, ἐν ᾧ ποιεῖ τὴν δωρεάν, ἢ πλέον ἀγαπᾷ ἐκεῖνον, ἐν ᾧ δωρεῖται, τοῦ ἰδίου κληρονόμου [1].

10. Τρία γένη ὑπάρχουσιν τῶν δωρεῶν τῶν γινομένων ἐν αἰτίᾳ τοῦ [b] θανάτου· καὶ τὸ μὲν πρῶτον ὑπάρχει, ὅταν τις ἄνθρωπος χαρίσῃ ἄλλῳ τινὶ διὰ μόνην τὴν ἐλπίδα ἣν ἔχει, ὅτι μέλλῃ [c] τέλος πάντων [d] ἀποθανεῖν [2]· δεύτερον δέ, ὅταν χαρίζῃ τις διὰ τὸν θάνατον, ὃς πρό-
c 100 κειται αὐτῷ ‖ ἔξωθεν, † καὶ οὐχὶ διὰ τὸν θάνατον τοῦ λαμβάνοντος τὴν δωρεάν [e], καὶ παρευθὺς ἡ δεσποτεία τοῦ πράγματος τοῦ λαμβάνοντός ἐστι· τρίτον δέ, ὅταν χαρίζῃ διὰ κίνδυνον τῆς ἀποδημίας αὐτοῦ, ἣν μέλλει ποιῆσαι ἐπὶ ξένην χώραν, οὗ χάριν καὶ [f] ὁ λαβὼν τὴν δωρεὰν οὐ δεσπόζει ταύτην ἕως οὗ ὁ δεδωκὼς ἀποθάνῃ· οἷόν τι εἴπω, ὁ φοβούμενος κίνδυνον λῃστῶν ἢ πολεμίων, ἢ ναυάγιον, οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ὁ νοσῶν καὶ ὁ εὐλαβούμενος ἄνδρα δυνατὸν ἢ γῆρας φοβούμενος· ταῦτα γὰρ πάντα κίνδυνον δηλοῦσιν [3].

(a) *Cod.* εἰ (b) τοῦ] *della stessa mano, come sembra, ma scritto in interlinea. Cf. V, 7.* (c) μέλλει? (d) *Così il Cod., ma la frase* τέλος πάντων *è da espungere.* (e) *Luogo evidentemente corrotto. Cf. Proch. Bas. XII, 4.* (f) *Cod.* οὐχάριν καὶ *ma non è ben chiaro lo spirito lene sulla* υ.

magis se ipsum, quam eum cui donat, aut magis eum cui donat, quam heredem suum, habeat.

10. Donationum, quae mortis causa fiunt, tres species sunt; et prima quidem est, cum quis alicui donat sola, quam habet, cogitatione sibi mortem, rerum omnium finem (?), adesse; altera vero species est, cum quis, ob mortem sibi extrinsecus imminentem, et non ob mortem accipientis donationem (?), ita donat, ut statim rei dominium fiat accipientis; tertia demum, cum (quis), ob peregrinationis in externam regionem faciendae periculum, ita donat, ut (?) donatarius rei dominus non fiat usque dum donator moriatur; veluti, ex. gr., qui periculum a latronibus aut hostibus aut naufragium timet; neque hoc solum, sed et aegrotans et qui virum potentem aut senectutem pertimescit: haec enim omnia periculum demonstrant.

(1) Cf. *Proch. Bas.* XII, 3.

(2) *Proch. Bas.* XII, 4: « Τρία ἐστὶν « εἴδη τῶν ἐν αἰτίᾳ θανάτου δωρεῶν· ἓν « μὲν ὅτε μηδενὸς ἐπηρτημένου φόβου δωρεῖ- « ται, διὰ μόνην ἐλπίδα φυσικοῦ θανάτου ».

(3) Cf. *Proch. Bas.* loc. cit.

11. Ἐὰν δωροῦμαί σοί τι πρᾶγμα κινητὸν καὶ ἀποστείλω σοι αὐτό, καί, πρὶν ἀπολάβοις αὐτό, ἀποθάνω, οὐχ ὑπάρχει σόν (1).

12. Ἐάν τις νέος ἔχων πατέρα κελεύσει τοῦ πατρὸς αὐτοῦ ἢ τῇ θελήσει αὐτοῦ χαρίσῃ, φαίνεται οὐχὶ ὁ νέος χαρίζων, ἀλλ' ὁ πατὴρ αὐτοῦ· καὶ ἐάν τις ἄνθρωπος τὸ σὸν πρᾶγμα ‖ τῷ σῷ θελήματι χαρίσῃ τινί, σὺ c. 11 A
φαίνῃ ὅτι χαρίζῃς (a) (2).

περὶ ἀνατροπῆς δωρεῶν (b).

13. Ἐάν τις ἄνθρωπος οὐκ ἔχων τινὰ υἱὸν δωρήσηταί τινι πᾶσαν τὴν οὐσίαν αὐτοῦ τῶν ἀπελευθέρων, ἢ μέρος αὐτῆς τῆς οὐσίας, ὁ δὲ τὴν δωρεὰν ποιησάμενος ἕξοι μετὰ ταῦτα παῖδας, ἡ δωρεὰ ἐκείνη ἄκυρος καὶ ἄχρηστος ὑπαρχέτω, καὶ στραφήτωσαν (c) τὰ πάντα πρὸς τὸν τὴν δωρεὰν ποιήσαντα, ὅστις καὶ πάλιν κελεύομεν ἵνα ἕξοι ἐξουσίαν διοικεῖν ταῦτα καὶ οἰκονομῆσαι (d) ὥσπερ καὶ θελήσει (3).

14. Οὔτε ἄνους, τουτέστιν ὁ μωρός, οὔτε ἄνηβος, τουτέστιν ὁ μὴ ὢν ἐτῶν ιδ', δύναται χαρίσαι τι· καὶ γὰρ εἰς οὐδένα τούτων ὑπάρχει θέλημα (4).

(a) χαρίζεις? (b) *Rubrica da espungere.* (c) *Cod.* στραφείτωσαν (d) *Cod.* οἰκοδομῆσαι

11. Si tibi rem aliquam mobilem donaturus misero, et, prius quam tu illam accipias, obeam, res tua non fit.

12. Si iuvenis quidam, habens patrem, iussu aut voluntate patris sui donet, non iuvenis sed pater donare videtur; et si quis rem tuam voluntate tua donet, tu donare videris.

de donationum revocatione.

13. Si quis filium nullum habens alicui libertorum suorum totam substantiam suam aut substantiae partem donaverit, postea vero donator ipse liberos susceperit, donatio irrita esto et infirma et omnia donatori restituantur, quem denuo iubemus illa, prout volet, regendi et administrandi potestatem habiturum.

14. Neque mente captus, h. e. μωρός, neque impubes, h. e. qui .XIIII. annorum nondum est, aliquid donandi potestatem habet; horum enim neutri voluntas est.

(1) Cf. *Proch. Bas.* XII, 5.
(2) Cf. *Proch. Bas.* XII, 6, 7.
(3) Cf. *Proch. Bas.* XIII, 1.
(4) Cf. *Proch. Bas.* XIII, 2. In

Τίτλος ς'.

Περὶ τῶν κεκωλυμένων διατίθεσθαι προσώπων καὶ περὶ διαθηκῶν ἐγγράφων καὶ ἀγράφων.

1. Πάντες οἱ μὴ ἔχοντες ἐῤῥωμένας τὰς φρένας καὶ τὸν νοῦν ὑγιῆ
c. 11 B κωλύονται διατίθεσθαι, ὁμοίως καὶ οἱ ἀνήλικοι, τουτέστιν οἱ μὴ ὄντες ἄῤῥενες ἐτῶν ιδ', αἱ δὲ θήλειαι ἐτῶν ιβ' καὶ εἰσελθοῦσαι εἰς ιγ' (1).

2. Οἱ μαινόμενοι πάντοτε, ἢ ἐν αἰχμαλωσίᾳ ὑπάρχοντες, καὶ πάντες οἱ ὑπεξούσιοι, χωρὶς τῶν πραγμάτων, ἅτινα ἐκεῖνοι ὑπεκτήσαντο, οὐ δύνανται διατίθεσθαι· εἰς δὲ τὰ πράγματα, ἅπερ ἔδωκαν αὐτοῖς οἱ πατέρες αὐτῶν ὀνόματι προικὸς καὶ προγαμιαίας δωρεᾶς (2), μέχρις ἂν ὑπεξούσιοι ὑπάρχωσιν, οὐ δύνανται αὐτὰ διατίθεσθαι· ἀλλὰ καὶ ὁ ἀπὸ γενέσεως αὐτοῦ κωφὸς ἢ ἄλαλος οὐ δύναται διατίθεσθαι.

Titulus VI.

De personis, quae testari prohibentur, et de testamentis per scripturam et sine scriptura conficiendis.

1. Omnes mentem integram et sanam non habentes testamentum facere prohibentur; similiter et impuberes, h. e. mares, qui .XIIII. annos non impleverint, et feminae, quae .XII. anno expleto ad .XIII. progressae sint.

2. Qui omnino furiosi vel qui in captivitate et in aliena potestate constituti sunt, testari non possunt, nisi de illis rebus, quas ipsi acquisivere; de rebus autem, quas ipsis parentes eorum dotis vel antenuptialis donationis nomine largiti sunt, donec subiecti maneant, testari non possunt; sed et qui a nativitate surdus aut mutus est, testamentum condere prohibetur.

questo e nei precedenti capi, tra il nostro e la sua fonte non vi è che qualche differenza nella forma.

(1) *Ecl.* V, 1: « Κωλύονται διατίθε- « σθαι οἱ ἐκ νοσήματός τινος ἐν παραφορᾷ « ὄντες, καὶ οἱ ἀνήλικοι, τουτέστιν οἱ μὲν « ἄῤῥενες ὄντες τῶν ιε ἐτῶν ἥττονες, αἱ δὲ « θήλειαι ἥττονες τῶν ιγ οὖσαι ». Per l'età, cf. *Proch. Bas.* XXI, 3: « Ὁ ἄῤῥην « πληρώσας τὰ ιδ' ἔτη διατίθεται, ἡ δὲ « θηλεία τὰ ιβ' ».

(2) L'*Ecl.* loc. cit. parla soltanto dei beni dati dai genitori « ὀνόματι « προικός », il nostro aggiunge anche quelli dati a titolo di « προγαμιαίας « δωρεᾶς » in corrispondenza dei cangiamenti, che abbiamo visto su questa materia nel titolo II.

3. Ἐκεῖνοι δὲ οἵτινες ἔπεσαν ἐξ ἀσθενείας τινὸς ἐν τοῖς προειρημένοις νοσήμασι καὶ γινώσκουσι γράμματα, ἔχουσιν ἄδειαν διατίθεσθαι ἰδιοχείρως ὑπογράφοντες (1).

4. Ἐγγράφως γίνεται διαθήκη ἐν ἑνὶ καιρῷ καὶ τῷ αὐτῷ καιρῷ βεβαία οὖσα ὑπὸ ζ' μαρτύρων κεκλημένων ἐπὶ τοῦτο, καὶ ἐν αὐτῇ τῇ διαθήκῃ κατὰ τὸν * * (a) ὑπογραφέντων (b), ‖ οἵτινες μέλλουσιν ἕκαστος c. 11c
ἔχειν τὴν ἰδίαν σφραγῖδα καὶ σφραγίσαι αὐτήν. μᾶλλον δὲ καὶ αὐτὸς ὁ διατιθέμενος μέλλει ἐν αὐτῇ τῇ διαθήκῃ τὸ ὄνομα τοῦ ἰδίου κληρονόμου ἐμφαίνειν τῇ ἰδίᾳ χειρί, εἴγε θελήσειε, καὶ πάντα δηλῶσαι τοῖς μάρτυσιν, ἐὰν ἀρέσῃ αὐτῷ (2).

5. Καὶ ἀγράφως γίνεται διαθήκη, ἀλλὰ καὶ τότε ἐνώπιον ζ' μαρτύρων μέλλει ὁ διατιθέμενος φανερῶσαι τὴν ἰδίαν βουλήν. εἰ δέ τις ἐν οἱῳδήποτε σκοπῷ διατίθεται (c), μὴ εἴποι τὴν ἰδίαν βουλὴν παρόντων ζ'

(a) *Rasura nel Cod. Cf. Ecl. isaur. V, 2.* (b) *Il Cod. reca solo* γραφέντων
(c) *Cod.* διατίθεται ἐν οἵῳ δήποτε σκοπῷ

3. Quicumque vero infirmitate quadam in praedictos morbos inciderint et literas noverint, potestatem habeant testamenti propria manu subscripti conficiendi.

4. Per scripturam fit testamentum, cum uno eodemque tempore a .VII. testibus ad hoc vocatis et illud secundum * * subscribentibus confirmatur; quorum unusquisque sigillum suum habere illudque obsignare debet; ipse vero testator in ipso testamento heredis sui nomen manu propria indicare debet, si velit, et omnia testibus palam facere, si ei placuerit.

5. Et sine scriptura fit testamentum, sed tunc etiam coram .VII. testibus testator voluntatem suam aperiat necesse est. Quod si quis, quacumque forma testetur, coram .VII. testibus voluntatem

(1) Cf. *Ecl.* loc. cit.

(2) Cf. *Ecl.* V, 2; si osservi però la seconda parte di questo capo: « τοῦ διατιθεμένου ὀφείλοντος διὰ τῆς ἰδίας ὑπογραφῆς ἢ διὰ χειροχρήστου τὸ ὄνομα τοῦ κληρονόμου ἐν αὐτῇ ὑποσημειώσασθαι, μὴ ἐμφαίνοντος τοῖς μάρτυσιν, εἴ γε καὶ βούλεται, τὰ τῆς διατυπώσεως « αὐτοῦ ». Lo ZACHARIAE annota che un codice ha « χειροχρίστου », riferendosi al segno della croce. Il nostro dicendo in generale « τῇ ἰδίᾳ χειρί », pare abbia voluto abbracciare i due casi, quello, cioè, in cui il testatore sapeva scrivere, e quello in cui era illetterato.

μαρτύρων, ὡς μὴ δυναμένου τούτους ἔχειν, ἐλθέτωσαν κἂν οἱ ε'. εἰ δὲ καὶ τούτους ἔχειν οὐ δύναται, ἐνώπιον τριῶν διατιθέσθω· εἰ δὲ καὶ διαθήκη γίνεται μὴ ἔχουσα κἂν τριῶν μαρτύρων ὑπογραφάς, ἄκυρος καὶ ἄχρηστος ὑπάρχει τοῦ διατιθεμένου ἡ βούλησις (1).

c. 11D 6. Τῆς διαθήκης, ὡς εἴρηται, ἀμέμπτου καὶ τελείας ‖ γινομένης, ἐὰν οἱ γονεῖς τὰ ἴδια τέκνα, ἢ καὶ ἓν ἐξ αὐτῶν ἀφείσωσιν ἀμνημόνευτον, δεῖ προσέχειν τοὺς κριτὰς εἰς τοῦτο (2), καὶ εἰ μὲν εὑρεθῶσι τὰ τέκνα παρὰ τῶν κριτῶν, ὅτι ἐνύβρισαν τοὺς γονεῖς αὐτῶν, ἢ καὶ παρέπληξαν αὐτούς, μενέτω ἡ διατύπωσις τῶν γονέων αὐτῶν ἀπαρασάλευτος. εἰ δὲ καὶ μετὰ τὴν τῆς διαθήκης ποίησιν γεννηθῇ (a) αὐτοῖς τι βρέφος, ἐν γαστρὶ ὑπάρχον τῆς γυναικὸς ὅταν καὶ ἡ διαθήκη ἐγένετο (3), οἱ μὲν δοῦλοι

(a) *Cod.* γεννηθεῖ

suam non patefaciat, quum eos colligere non valeat, sat est et .v. tantum adesse. Sin autem neque hos cogere potest, coram tribus testibus testetur: quod si testamentum ne trium quidem testium subscriptiones habens fiat, irrita et inutilis testatoris voluntas est.

6. Testamento, uti dictum, absolute perfecto, si parentes liberos suos aut unum ex iis praeterierint, hoc iudices examinent oportet, et si liberi a iudicibus parentes suos contumelia aut verberibus affecisse inveniantur, parentum ipsorum dispositio inconcussa permaneat. Quod si post testamentum confectum ipsis postumus fuerit adgnatus, qui in uxoris utero, quando testamentum conditum fuit, exstabat, servi in testamento libertate donati et le-

(1) Cf. *Ecl.* V, 3, 4: però specialmente il secondo periodo del nostro, corrispondente all'*Ecl.* V, 4, ne differisce per la dizione: « Εἰ δὲ ἐν ᾧ τις « διατίθεται τόπῳ ἢ ἐγγράφως ἢ ἀγράφως « ζ' ἐπὶ τὸ αὐτὸ μὴ εὑρίσκωνται μάρτυρες, « καὶ ἐπὶ ε' καὶ ἐπὶ γ' διατιθέσθω καθ' « ἑαυτόν ».

(2) L'*Ecl.* V, 5 ha: « τηρείτωσαν οἱ « ἀκροαταί », e così anche l'*Ecl. ad Proch. mut.* VI, 10. Il nostro ad « ἀκροαταί » ha sostituito « κριταί »; quelli erano assessori o giudici delegati del tempo dell'Ecloga (a. 740); questi furono i giudici ordinarî nelle provincie in un'epoca posteriore, « θεματικοὶ κριταί ». Cf. sugli uni e sugli altri ZACHARIAE *Geschichte des griechisch-römischen Rechts*², Berlin, 1877, pp. 330 e 355.

(3) L'*Ecl.* loc. cit. ha semplicemente: « βρέφος ἐγκυμονούμενον »; in ugual modo si esprime l'*Ecl. ad Proch. mut.* loc. cit. L'*Ecl. priv. auct.* V, 5 ha: « εἰ – ἐπιγεννηθῇ βρέφος ἢ κατα- « λειφθῇ ἐγκυμονούμενος καὶ εἰς φῶς « προέλθῃ ».

οἵτινες ἠλευθερώθησαν ἐν τῇ διαθήκῃ, καὶ τὰ λεγάτα ἃ ἀφῆκεν ἐν τῇ διατυπώσει (1), ἐχέτωσαν δύναμιν κατὰ τὴν περίληψιν τῆς διαθήκης, τὸ δὲ βρέφος ὅπερ ἐγεννήθη, συνελθέτω εἰς τὴν κληρονομίαν ἅμα τοῖς ἀδελφοῖς αὐτοῦ καὶ κληρονομείτω (a).

7. Εἰ δέ (b) τις νέος γονεῖς μὴ τιμήσας αὐτοῦ (c) ἐν τῷ γήρει αὐτῶν, ἀλλὰ πρὸς πλῆξιν αὐτῶν ἐκεῖνα ἐποίει ἅπερ οὐκ ἤρεσκεν αὐτοῖς, καὶ χωρὶς προνοίας τινὸς καὶ τροφῆς αὐτοὺς ἐγκατέλιπε, καὶ ὡς ἐκ τούτου οἱ γονεῖς εὗρον ἄλλον τινὰ ξένον ἄνθρωπον, ὅστις ἐδούλευεν αὐτοῖς, καὶ ὡς ὑπ' αὐτοῦ εὐεργετηθέντες ἐποίησαν αὐτὸν τὸν ξένον κληρονόμον τῆς ὑποστάσεως αὐτῶν, αὕτη ἡ βούλησις ἐρρωμένη ὑπαρχέτω (2). c. 12 A

8. Ἐάν τις ὑπάρχῃ κληρονόμος τινὸς τελευτήσαντος, εἴτε ἀπὸ ἐγγράφου διατυπώσεως, εἴτε ἀπὸ ἀγράφου, οὗτος, εἰ μὲν παραδραμεῖ (d) καὶ παρασύρει καὶ ὑπερτίθεται μέχρις ἐνιαυτοῦ τελείου μὴ πληρῶν τὸ θέλημα

(a) *Cod.* κληρονομήτω (b) *Cod.* Εἶχε (c) *Cod.* αὐτοὺς (d) *O* παραδράμῃ ? *Cod.* παραδράμει

gata in eodem relicta iuxta testamenti continentiam effectum sortiantur, adgnatus vero postumus una cum fratribus suis hereditatem adeat et succedat.

7. Si iuvenis quidam parentes suos in senectute eorum minime honoraverit, quin potius ad eorum terrorem quae eis haud placerent fecerit, et absque ulla cura victu quoque eos privaverit, ita ut hac de causa parentes alium quempiam extraneum nacti, qui erga illos sese studiosum gesserit, tamquam beneficio affecti extraneum ipsum substantiae suae heredem instituerint, et haec voluntas firma et stabilis esto.

8. Si quis alicuius defuncti, sive ex scripto testamento, sive ex non scripto, heres sit, et usque ad annum completum testatoris voluntatem exsequi protrahat, supersedat ac differat, si is, qui hoc

(1) Le fonti citate nella nota precedente hanno soltanto: « αἱ ἐλευθερίαι « καὶ τὰ λεγάτα ».

(2) Questo capo, come è riferito dal nostro, parmi completi il capo 6, titolo V dell' Ecloga, specialmente nella prima parte: « Ἐάν τις ἔχων ἕνα γνήσιον « υἱὸν πρὸς λῆξίν τι (?) τῶν γονέων ἐργάσηται καὶ ἐν τῷ γήρει ἀπρονοήτους ἐῶν « αὐτούς », al qual luogo lo ZACHARIAE fa questa nota: « Totus hic locus ita « parum procedit, ut fortasse inter ἐρ- « γάσηται et καὶ ἐν τῷ γήρει nonnulla « (de parentum praeteritione) excidisse « statuendum sit ». Il nostro, come vedesi, è più chiaro.

τοῦ διατιθεμένου, εἰ μὲν ὁ τοιοῦτος ὁ τὰ τοιαῦτα ποιῶν υἱὸς ὑπάρχει τοῦ τελευτήσαντος ἢ ἔγγονος, οὐ μέλλει ἔχειν ἢ λαβεῖν τι τῶν πραγμάτων ἐκείνων, ἅτινα ὁ διατιθέμενος ἠφῆκεν [a] αὐτῷ, ἀλλ' ἐχέτω μόνον τὸ
c. 12 B νόμι||μον μέρος, ὅπερ ἁρμόζει αὐτῷ. ἡ δὲ νόμιμος μοῖρα, ἣν μέλλει ἔχειν, αὕτη ἐστίν· εἰ μὲν γὰρ ὁ διατιθέμενος ἔχει δ' παῖδας, τὸ τρίτον μέρος ἔχουσιν τῆς καθαρᾶς ὑποστάσεως, εἰ δὲ πλείονες οἱ παῖδες τῶν δ' εἰσί, τὸ ἥμισυ τῆς καθαρᾶς ὑποστάσεως λήψονται. καθαρὰ δὲ ὑπόστασίς ἐστιν, ὅταν ἅπαν τὸ χρέος ὃ ἐχρεώστει [b] ὁ τελευτήσας ἀποδοθῇ, καὶ ἡ μένουσα τότε ὑπόστασις καθαρὰ [c] νοεῖται. εἰ δὲ ὁ ἀμελήσας τῆς κελεύσεως τοῦ διατιθεμένου οὔκ ἐστιν υἱὸς αὐτοῦ, ἀλλὰ συγγενὴς αὐτοῦ, παντελῶς ἐκπιπτέτω τῆς κληρονομίας αὐτοῦ, καὶ ἅπερ ἐκεῖνος ἤμελλε κληρονομῆσαι, ἐὰν ἐποίει [d] τὴν κέλευσιν τοῦ διατιθεμένου, ταῦτα οἱ συγκληρονόμοι αὐτοῦ καὶ οἱ συλλιγατάριοι καὶ οἱ ἕτεροι συγγενεῖς τοῦ δια-
c. 12 C τιθεμένου ἐχέτωσαν. εἰ ξένος ἐστὶν παν||τελῶς ὁ κληρονόμος ὁ μὴ ποιήσας τὴν κέλευσιν τοῦ διατιθεμένου, πάσης τῆς κληρονομίας γενέσθω ἀλλότριος [1].

(a) *Così il Cod.* (b) *Cod.* ἐχρεώστη (c) *Cod.* καθαρὸς (d) *Cod.* ἐποίη

modo se gerit, filius vel nepos testatoris sit, nil ex substantiis, quas ei testator largitus est, habeat aut accipiat, sed legitimam tantum portionem, quae ad illum pertinet, habeto. Legitima autem portio, quam habere debet, haec est: si enim testatori .IIII. liberi sint, purae substantiae tertiam partem accipiant, sin autem plures quam quatuor liberi sint, purae substantiae medietatem lucrentur. Pura autem substantia est, quum omne aes alienum, quod defunctus mutuum acceperat, restituitur, et quae tunc reliqua est, pura substantia intelligitur. Sin autem qui testatoris iussus exsequi neglexit, non eius filius, sed propinquus sit, hereditate omnino cadat, et quae ille, si testatoris voluntatem implesset, consequi debuit, haec coheredes et colligatarii ipsius et alii testatoris propinqui consequantur. Si heres testatoris iussum negligens omnino extraneus est, tota hereditate privetur.

(1) Cf. *Ecl.* V, 7: non vi sono che differenze di forma; solo si noti che l' Ecloga nel determinare la legittima, parla in generale di « ὑποστάσεως » e non, come il nostro, di « καθαρᾶς « ὑποστάσεως ».

9. Ἐάν τις ἐν πολέμῳ ὑπάρχων ὑπό τινος ὅπλου πληγῇ, ἢ ἐν ὁδῷ περιπατῶν εἰς τὸ τέλος τοῦ θανάτου φθάσῃ, καὶ θελήσῃ τὰ ἑαυτοῦ διατυπῶσαι, καὶ ἐπὶ τῶν δύο τούτων κακῶν νομικὸς οὐχ εὑρίσκεται, ἢ ἄλλος τις μὴ εὑρεθῇ (a) γινώσκων γράμματα, διὰ παρουσίας ζ' μαρτύρων, ἢ πέντε, ἢ τριῶν φανερὰν ποιήσει τὴν οἰκείαν βουλήν· ἐπεὶ καὶ ἐὰν εὑρεθῶσι β' μάρτυρες καὶ μόνον, δοκιμαζομένης τῆς ὑπολήψεως αὐτῶν παρὰ τῶν κριτῶν, ἐῤῥωμένη ὑπαρχέτω ἡ βούλησις τοῦ διατιθεμένου (1).

Τίτλος ζ'.

Περὶ πράσεως καὶ ἀγορασίας (b).

1. Τότε γίνεται ἡ πρᾶσις, ὅταν ἀρεσθῶσι τὰ δύο μέρη τοῦ τε πω-
λοῦντος καὶ ἀγο‖ράζοντος περὶ τὸ τίμημα, ὁ μὲν ἀγοραστὴς δοῦναι τὸ c. 12 D
τίμημα, ὁ δὲ πράτης παραδοῦναι αὐτῷ τὸ πιπρασκόμενον· οὐ μόνον τοῦτο, ἀλλὰ κἂν (c) ἕκαστος αὐτῶν ἢ τὴν καταβληθεῖσαν ἤγουν τὴν δοθεῖσαν (d)

(a) εὑρεθῇ] *questa parola manca nel Cod.; l'ho supplita dall'Ecl. V, 8.* (b) *Nel margine del Cod. si legge:* De emtione et venditione. (c) *Cod.* καὶ (d) ἤγουν τὴν δοθεῖσαν] *parole da espungere.*

9. Si quis in bello fuerit telo vulneratus, aut iter ingressus morte sese occupari senserit, et de rebus suis disponere velit, cum illi his duobus malis impedito neque tabellio neque alius quisquam litteras cognoscens praesto sit, coram .VII. aut quinque aut tribus testibus voluntatem suam aperiat: quod si vel .II. tantum testes reperiantur, horum existimatione a iudicibus approbata, firma testatoris voluntas esto.

Titulus VII.

De venditione et emtione.

1. Tum fit venditio, cum ambae partes, venditoris scilicet et emtoris, de pretio convenerint, emtor nempe de pretio dando, venditor autem de re vendita illi tradenda; neque hoc solo modo, sed etiam si eorum alter vel solutum, scil. datum, pretium vel

(1) *Ecl.*V, 8. Si osservi anche qui la sostituzione di « κριτῶν » ad « ἀκροατῶν »; cf. *Proch. Bas.* XXI, 16.

τιμὴν ἀναλάβοι, ἢ τὸ διαπραθὲν πρᾶγμα παραλάβοι [a], ἐν τοιούτῳ στοιχήματι, ἵνα ἡ πρᾶσις [b] ἀδιάλυτος μείνῃ καὶ προβῇ. τὸ δὲ διδόμενον χάριν ἀῤῥαβῶνος ἔλεγχός ἐστι καὶ ἀπόδειξις ὑπάρχει τῆς πράσεως καὶ τῆς ἀγορασίας [1]. ταῦτα δὲ λέγομεν περὶ πράσεως καὶ ἀγορασίας τῆς ἀγράφως γινομένης· τῇ δὲ ἐγγράφῳ πράσει οὐχ οὕτω προσγενήσεσθαι λέγομεν, ἀλλὰ καὶ τὰ σύμβολα τῆς πράσεως καὶ τῆς ἀγορασίας συγγράφεσθαι δεῖ, καὶ οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος δυναμοῦσθαι, ἢ ὑπογραφῇ [c] ἑτέρου, ἐὰν μὴ ὁ πράτης γινώσκῃ γράμματα [2]. τὸ δὲ γινόμενον
c. 13 A δι' ἀῤῥαβῶνος, ἐὰν διαλυθῇ ἡ πρᾶσις καὶ μὴ πληρωθῇ, ‖ εἰ μὲν ὁ ἀγοραστὴς ὑπάρχει ὁ διαλύων καὶ ἀποχωρῶν, ἐκπίπτει τοῦ ἀῤῥαβῶνος καὶ ἀπόλλυσιν αὐτόν, εἰ δὲ ὁ πράτης ἐστὶν ὁ βουλόμενος ἀναχωρῆσαι

(a) ἢ τὸ διαπραθὲν - παραλάβοι] *parole supplite mercè il Proch. Bas. XIV, 1.*
(b) *Cod.* πράσῆς *(cioè η corretto).* (c) *Cod.* ὑπογραφῆς

venditam rem acceperit, tali ordine, ut venditio firma maneat atque perduret. Quod arrhae nomine datur, argumentum et probatio est venditionis et emtionis. Haec de venditione et emtione absque scriptura celebrata dicimus: in scripta autem venditione non ita agendum statuimus; necesse est enim ut venditionis emtionisque instrumenta conscribantur ac propria venditoris manu, seu, cum venditor litteras ignoret, alterius subscriptione firmentur. Quod per arrham fit, cum rescindatur venditio nec impleatur, si emtor est qui contractum rescindit et ab eo recedit, ab arrha cadit et illam amittit; sin autem venditor a venditione

(1) *Proch Bas.* XIV, 1: « Πρᾶσις καὶ « ἀγορασία συνίσταται, ἡνίκα περὶ τοῦ « τιμήματος ἑκάτερον συναινέσαν μέρος, ὁ « μὲν τὴν καταβολὴν ποιήσηται τοῦ τι- « μήματος, ὁ δὲ παραδοίη τὸ πιπρασκό- « μενον· οὐ μόνον δὲ ἀλλὰ κἂν ὁ ἕτερος « τούτων - ἐφ' ᾧ τὴν πρᾶσιν ἀδιάλυτον « προβῆναι, καὶ οὕτως τὰ τῆς πράσεως « ἐῤῥῶσθαι. τὸ δὲ ἀῤῥαβῶνος χάριν πα- « ρεχόμενον ἔλεγχός ἐστι καὶ ἀπόδειξις « πράσεως καὶ ἀγορασίας συστάσεως, οὐ « μὴν αὐτὸ σύστασις ».

(2) *Proch. Bas.* loc. cit: « ἐπὶ δὲ τῆς « ἐγγράφως γινομένης οὐχ ἑτέρως τὸ τέ- « λειον προσγενήσεσθαι λέγομεν τῇ πρά- « σει καὶ τῇ ἀγορασίᾳ, εἰ μὴ καὶ τὰ συμ- « βόλαια τῆς πράσεως συγγραφῇ ἡ οἰκείᾳ « χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑπὸ ἑτέ- « ρου μὲν γραφῇ, ὑπογράψῃ δὲ « ὁ πιπράσκων· εἰ δὲ διὰ τα- « βελλίονος γίνεται καὶ κόμπλα « παρακολουθήσει προταχθείσης « ὑπογραφῆς καὶ τοῦ συμβο- « λαίου ».

τῆς πράσεως, ἀναγκαζέσθω εἰς τὸ διπλοῦν ἀποδοῦναι τὸ τίμημα, ὅπερ ἔλαβε παρὰ τοῦ ἀγοραστοῦ (1).

2. Οὐδεὶς τῶν πρακτόρων δύναται ἀγοράζειν τι κινητὸν ἢ ἀκίνητον ἐκ τοῦ ὀφφικίου, ὅπερ ἔχει εἰς τὰς χεῖρας αὐτοῦ, ἢ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου προσώπου · εἰ γὰρ τοῦτο ποιήσει, καὶ τοῦ ἀγορασθέντος πράγματος ἐκπίπτει, καὶ τὸ τίμημα, ὅπερ ἔδωκεν, οὐκ ἀναλαμβάνει · ὅπερ κρατεῖ καὶ ἐπὶ τοῦ προκουράτωρος τοῦ βασιλέως, εἰ μὴ (a) παρὰ τοῦ δημοσίου ἔχει τὴν κέλευσιν (2).

3. Ἐπὶ δὲ τῶν συναλλαγμάτων ὅλων τῶν ἀγράφως γινομένων, ὁ ὅρκος ἐπιφέρεται τῷ ῥέῳ, τουτέστι τῷ ‖ ἐναγομένῳ, ἐὰν ὁ ἄκτωρ, ἤγουν c. 13 B
ὁ ἐνάγων, μὴ δυνηθῇ δεῖξαι ἀληθῆ εἶναι τὰ (b) παρ' αὐτοῦ πρὸς τὸν ῥέον λεγόμενα · ἀεὶ γὰρ ὁ ἐνάγων βαρεῖται ταῖς ἀποδείξεσιν, ὁ δὲ ἐναγόμενος ὅρκῳ (3).

4. Καὶ εἰ μὲν πραθῇ καὶ ἀγορασθῇ τι πρᾶγμα κατὰ τὸν προτεταγμένον νόμον τῆς ἐγγράφου καὶ ἀγράφου πράσεως καὶ ἀγορασίας, συμβῇ

(a) *Cod.* μὶ (b) τὰ] *parola supplita.*

secedere voluit, duplum pretium, quod ab emtore accepit, restituere cogatur.

2. Nemo officialium quid mobile aut immobile ex officio, quod prae manibus habet, aut per seipsum aut per aliam personam emere potest; si enim hoc fecerit, et a re emta cadit, et pretium, quod praestitit, non recuperat: idem et in procuratore regis valet, nisi a fisco iussionem habeat.

3. In omnibus contractibus sine scriptura celebratis iusiurandum reo, h. e. τῷ ἐναγομένῳ, defertur, cum actor, h. e. ὁ ἐνάγων, quae reo obiecit, vera demonstrare non potuit; semper enim actor probationibus, reus autem iureiurando subiiciendus.

4. Si quid secundum statutas venditionis emtionisque regulas

(1) *Proch. Bas.* loc. cit.: « τὸ δὲ « δι' ἀῤῥαβῶνος γινόμενον, ἐν ὑστερο- « βουλίᾳ κείμενον, διαλυομένης τῆς « πράσεως, εἰ μὲν ἀγοραστὴς ἢ ὁ δια- « λύων καὶ ἀποχωρῶν, ἀπόλλυσι τὸν « ἀῤῥαβῶνα · εἰ δὲ πράτης, τὸ διπλοῦν « παρασχεῖν ἀναγκάζεται, τουτέστιν αὐτὸ « τὸ δοθὲν καὶ ἕτερον τοσοῦτον ».

(2) Cf. *Proch. Bas.* XIV, 2.

(3) Questo capitolo, estraneo alla compravendita, non ha riscontro nè nel *Proch. Bas.* tit. cit., nè nell'*Epanag.* XXIII, nè nell'*Ecl. ad Proch. mut.* XI. Cf. *Epitome,* XII, 43.

δέ [a] τις κίνδυνος τοῦ πραθέντος πράγματος, οὐ βλάπτεται ὁ πράτης, ἀλλὰ τὸν ἀγοραστὴν ὁ κίνδυνος ὁρᾷ, εἰ τάχα ἔτι τὸ πωληθὲν πρᾶγμα οὐ παρεδόθη [b] παρὰ τοῦ πράτου εἰς τὸν ἀγοραστήν. λοιπὸν εἴτε οἰκέτης ἐστὶν ὁ πραθεὶς καὶ τελευτήσει, ἢ μέρος τι τοῦ σώματος βλαβῇ, πόδα τυχὸν ἢ χεῖρα ἢ ὀφθαλμόν, ἢ οἶκος ὑπάρχει ὁ πραθεὶς καὶ [c] οὗτος ἅπας ἢ ἐκ μέρους δαπανηθῇ πυρί, ἢ ἀγρὸς ὑπάρχει ὁ πραθεὶς [d] καὶ
c. 13 c ὑπὸ τῆς βίας τοῦ ποταμοῦ ὅλος τυχὸν ἀπόληται ‖ ἢ μέρος τι ἐκ τούτου, εἴτε μεγάλῃ χύσει τῶν ὑδάτων, ἢ ὑπὸ ἀνέμων βιαίων δένδρα πολλὰ πέσωσιν ἐπὶ τοῦ ἀγροῦ καὶ χειρότερος ὁ ἀγρὸς ἐκ τούτων γένηται, ἐπὶ πάντων τούτων ἡ ζημία τοῦ ἀγοραστοῦ ὑπάρχει. γίνωσκε γὰρ εἰς πληροφορίαν ὅτι, εἰ συμβῇ [e] τοιοῦτόν τι τῷ πραθέντι πράγματι, χωρὶς δόλου ἢ χωρὶς ῥαθυμίας τοῦ πράτου, ἡ ζημία οὐκ ἀπέρχεται εἰς τὸν πράτην, ἀλλ' ἐπὶ τὸν ἀγοραστήν, ὅτι αὐτός ἐστιν ὁ δεσπότης τοῦ πράγματος [1].

5. Καθάπερ ἀνατρέχει εἰς τὸν ἀγοραστὴν ἡ ἀπώλεια τοῦ πεπραμένου πράγματος, ἐκείνη ἡ ἀπώλεια ἡ ἐρχομένη ἐκ τῆς τύχης, τὸν αὐτὸν τρόπον ἐὰν ἐπέλθοι τι κέρδος ἢ ὠφέλεια τῷ πράγματι, οὐ τοῦ πράτου

(a) δέ] *parola supplita.* (b) *Cod.* παρεδόϑει (c) καὶ] *parola supplita.* (d) *Cod.* πραϑῆς (e) *Cod.* συμβεῖ

in scriptis vel absque scriptura venditum et emtum fuerit, et periculum fortasse aliquod rei venditae acciderit, non venditor, sed emtor periculum ipsum sentire debet, etsi nondum res vendita a venditore emtori tradita fuerit. Caeterum sive servus venditus sit et moriatur, aut circa partem aliquam corporis, pedem puta aut manum aut oculum, damnum patiatur, sive domus vendita et vel tota vel ex parte igni absumatur, sive ager venditus et forte totus vel ex parte vi fluminis, vel magna aquarum effusione pereat, sive ventorum violentia multae arbores in agro deiiciantur et ager ex his vilior efficiatur, in his omnibus damnum ad emtorem pertinet. Ad summam enim scito, si rei venditae absque venditoris dolo vel culpa quid tale acciderit, damnum non ad venditorem sed ad emtorem, qui iam rei dominus est, pertinere.

5. Quemadmodum emtorem respicit rei venditae interitus, qui fortuito acciderit, eodem modo si quid lucri vel commodi rei

(1) Cf. *Proch. Bas.* XIV, 3.

ὑπάρχει, ἀλλὰ τοῦ ἀγοραστοῦ· λοιπὸν ἐὰν ὑπὸ ῥευμάτων ὑδάτων ὁ ἀγρὸς μείζων ἐγένετο, ἢ ὑπὸ προσχώσεως πο‖ταμοῦ, τουτέστιν ἐὰν ὁ ποταμὸς c. 13 D
ἀφίσταται τοῦ τόπου αὐτοῦ καὶ προστίθεται τῷ ἐμῷ ἀγρῷ ἡ ἀλλοτρία γῆ, ἡ ὠφέλεια τοῦ προστιθέντος (a) χωραφίου τοῦ ἀγοραστοῦ ὑπάρχει (1).

6. Ἡ πρᾶσις δύναται γενέσθαι εὐθέως καὶ παρχυτίκα χωρίς τινος προδιορισμοῦ καιροῦ ἢ αἱρέσεώς τινος καὶ χωρὶς βραδυτῆτος καὶ ἀναβολῆς χρόνου, ὡς ὅταν παρέχῃς τὸ σὸν πρᾶγμα ἐπὶ τὸ λαβεῖν ἄλλο· καὶ ὑπὸ αἵρεσιν γίνεται οἷον, Νικόλαος, ὁ οἰκέτης μου, ἐὰν ἐντὸς τοῦ μηνὸς τούτου ἀρέσῃ σοι, ἔστω σὸς διὰ νομίσματα δέκα (2).

7. Ἐὰν δὲ προστάξω τῷ δούλῳ μου ὑποδεῖξαί σοι τοὺς ὅρους τοῦ πραθέντος σοι ἀγροῦ παρ' ἐμοῦ, ἐκεῖνος δὲ τυχὸν κατὰ δόλον ἢ κατὰ πλάνην ἢ ἄγνοιαν πλέον ὑποδείξει σοι, οὐ καταδικάζομαι ὑπὸ τοῦ δόλου ἢ πλάνης ἐκείνου. ὁμοίως γίνεται καὶ ἐπὶ παρα‖δόσεως τῆς ἀργούσης (b) νομῆς (3). c. 14 A

8. Ἐὰν πωλήσω σοι τὸν δοῦλόν μου ἔχοντά τι πεκούλιον, οὐχ ἕξεις σὺ τὸ πεκούλιον σὺν τῷ δούλῳ· ἀλλὰ καὶ ἐὰν ὁ δοῦλός μου ὃν ἐπώλησά

(a) *Cod.* προτιθέντος (b) *Cod.* ἀρχούσης

venditae accedit, non venditoris sed emtoris fit. Itaque si ager aquarum alluvione aut fluminis appulsione maior fit, h. e. si flumen cursum suum deserat et terra aliena fundo meo adiiciatur, adiecti agri incrementum emtoris est.

6. Venditio statim et confestim fieri potest absque ulla praefinitione aut conditione et temporis mora et dilatione, veluti cum rem tuam dederis ut aliud acciperes; sub conditione autem fit, veluti, Nicolaus, servus meus, si intra hunc mensem tibi placuerit, decem aureis tuus esto.

7. Si servo meo agri a me tibi venditi fines monstrare iubeam, et ille forte per dolum aut errorem aut ignorantiam plus tibi monstraverit, illius dolo aut errore ego non condemnor. Idem obtinet et in vacuae possessionis traditione.

8. Si tibi servum meum aliquid peculii habentem vendidero, tu peculium una cum servo non habebis; praeterea si servus meus,

(1) Cf. *Proch. Bas.* XIV, 4.

(2) Cf. *Proch. Bas.* XIV, 5. Si noti soltanto che questo, a proposito del servo, adopera il pronome « ὁ δεῖνα », invece del nome proprio « Νικόλαος », ch'è nel nostro.

(3) Cf. *Proch. Bas.* XIV, 6.

σοι κλέψῃ τι τοῦ πεκουλίου αὐτοῦ, καὶ εἴ τι μετὰ τὴν πρᾶσιν προσετέθη τῷ πεκουλίῳ, ἅπαντα στρέφονταί μοι ἀνελλειπῶς, τυχὸν τοκετοὶ καὶ τὰ ἄλλα ἅ εἰσιν ἀπὸ τῶν ἔργων τῶν ἐκ τοῦ πεκουλίου (1).

9. Ὁ ἐγκαταλειφθεὶς (a) ἐπίτροπος εἰς τοὺς ἀνήβους οὐ δύναται ἀγοράσαι τὸ πρᾶγμα τοῦ ὀρφανοῦ. τὸ αὐτὸ δεῖ γινώσκειν ἐπὶ τοῦ κουράτωρος καὶ προκουράτωρος (2).

10. Ἐὰν πωλήσω σοι οἰκόν τινα καὶ μείνῃ (b) ἐν αὐτῷ τι χρυσίον προαποτιθέμενον παρ' ἐμοῦ τυχὸν κατὰ πλάνην, καὶ εὑρεθῇ ὕστερον παρά σου, ἐμὸν ἔσται τὸ χρυσίον (3).

c. 14 B 11. Ἐὰν ἴδῃς τὸ σὸν ἴδιον πρᾶγμα ὑπὸ ἄλλου πιπρασ||κόμενον, καὶ μὴ ἀντιλέγῃς τοῦ πωλῆσαι αὐτό, σὺ δοκεῖς αὐτὸ πιπράσκειν (4).

12. Ἐκεῖνο δὲ πάλιν ὑπελάβομεν προσθῆναι (c) τῷ νόμῳ δίκαιον ὑπάρχειν, ἵνα ἐκεῖνος ὅστις πωλήσει δοῦλον καὶ γινώσκει αὐτὸν κλέπτην,

(a) *Cod.* ἐγκαταλιφθείς (b) *Cod.* μείνει (c) *Così il Cod.*

quem tibi vendideram, aliquid ex peculio suo surripuerit et si quid post celebratam venditionem peculio accesserit, omnia mihi integra restitui debent, forte partus et alia quae ex peculii operis proficiscuntur.

9. Tutor infantibus relictus rem orphani emere non potest. Idem servandum in curatore et procuratore.

10. Si tibi domum aliquam vendidero, et in ea aliquid auri a me forte antea per errorem depositum manserit, et a te posthac inveniatur, aurum meum esto.

11. Si rem tuam propriam ab alio vendi videas et venditioni non contradicas, tu ipsam vendidisse videris.

12. Illud etiam aequum esse duximus legi addere, ut ille, qui servum vendiderit et ipsum furem aut furiosum aut daemo-

(1) Si osservi come questo capo, specie in principio, sia concepito alquanto diversamente nel *Proch. Bas.* XIV, 7: « Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ « τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν ὁ δοῦλος « κλέψῃ τοῦ πεκουλίου τι καὶ περιέλθῃ εἰς « τὸν ἀγοραστήν, καὶ ὅσα μετὰ τὴν πρᾶσιν « προστίθεται τῷ πεκουλίῳ, ἀποδίδοται τῷ « πράτῃ, τυχὸν τοκετοὶ καὶ τὰ ἀπὸ τῶν « ἔργων τῶν ἐκ τοῦ πεκουλίου δούλων ».

(2) Cf. *Proch. Bas.* XIV, 8.

(3) Cf. *Proch. Bas.* XIV, 9.

(4) Cf. *Proch. Bas.* XIV, 10. Questo ed il capo precedente nel Prochiron Basilii sono espressi in terza persona: il nostro, adoperando la prima e la seconda persona, dà ad essi una forma più concreta.

ἢ μαινόμενον, ἢ δαιμονιῶντα, προσφωνήσῃ περὶ αὐτοῦ τῷ ἀγοραστῇ· εἰ γὰρ μὴ ποιήσῃ τοῦτο, αὐτὸς μὲν ὁ πράτης ἀναλάβοι τὸν δοῦλον αὐτοῦ, τὸ δὲ τίμημα διπλοῦν ἀποστρέψει τῷ ἠγορακότι, οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐάν τινα ζημίαν ἐποίησε τῷ οἴκῳ τοῦ ἀγοράσαντος αὐτόν, καὶ ταύτην μέλλει στρέψαι (1).

13. Ἐὰν φύγῃ ὁ δοῦλος, πρὶν παραδοθῇ τῷ ἀγοράσαντι αὐτόν, ἢ κλαπῇ ὑπό τινος ἀνθρώπου, ὡς μὴ δόλον ἢ ῥαθυμίαν ἔχειν τὸν ἀγοραστήν, ὁ πράτης τὴν ζημίαν ἔχει. ἀλλ' οὕτως πρέπον ἐστὶν ἵνα τὴν ὑπόθεσιν λεπτολογήσομεν, ὡς, εἰ μὲν ‖ εἰς ἑαυτὸν ἐδέξατο ὁ πωλήσας τὸν δοῦλον τὴν ἐκείνου φυλακὴν ἄχρις ἂν παραδοθῇ, μέλλει ποιῆσαι εἰς αὐτὸν ἀκριβεστάτην καὶ ὑπερβάλλουσαν φύλαξιν, εἰ δὲ μὴ οὕτω ποιήσῃ, εἰς ἑαυτὸν αὐτὸς ἕξει τὴν ἐντεῦθεν ζημίαν· εἰ δὲ μὴ ἀνεδέξατο, εἰ συμβῇ τί ποτε, οὐχ ἕξει ἐκ τούτου ζημίαν τινά. τὸ αὐτὸ γίνεται καὶ ἐπὶ τῶν λοιπῶν ζώων οἷον ἵππου, ὄνου, καμήλου, καὶ ὅσα τοιαῦτά εἰσιν, ἀλλ' οὖν σὺν τούτοις ἅπασιν χρεωστεῖ ὁ πράτης τῷ ἀγοραστῇ τὴν διαυθέντησιν (a) καὶ ἐκδίκησιν (2). c. 14 c

(a) *Cod.* διαὺθέντισιν *La prima* ν *fu aggiunta in interlinea; ma dalla medesima mano.*

niacum esse cognoverit, rem emtori aperiat; quod si hoc facere neglexerit, ipse quidem venditor servum recipiat, duplum vero pretium emtori restituat; neque hoc solum, sed si quid damni emtoris domo attulit, hoc etiam praestare teneatur.

13. Si, priusquam emtori tradatur, servus aufugiat aut ab alio surripiatur, emtoris dolo vel culpa non interveniente, venditor damnum sentire debet. Res tamen subtilius inquirenda est, ita ut, si venditor servi custodiam, quousque traderetur, in seipsum suscepit, arctissimam diligentissimamque custodiam facere debeat, et, nisi hoc modo se gesserit, ipse damnum sentiat; quod si custodiam non suscepit, si quid forte acciderit, nullum propterea damnum patiatur. Id ipsum obtinet et in caeteris animalibus, velut equo, asino, camelo et huiusmodi reliquis; et praeterea venditor de evictione et vindicatione emtori tenetur.

(1) Cf. *Proch. Bas.* XIV, 11.

(2) *Epanag.* XXIII, 5: « Εἰ πρὸ παραδόσεως φύγῃ ὁ πραθεὶς δοῦλος ἢ καὶ κλαπῇ ὑπό τινος, ὡς μὴ δόλον ἢ ῥαθυμίαν ἐλέγχεσθαι περὶ ταῦτα τοῦ πράτου, σκοπήσομεν εἰ ὁ πράτης ἐκ τούτων

14. Ἐάν τις πωλήσῃ ἀγρὸν καὶ ἐν τῇ πράσει ἐκβάλῃ [a] ἐκ τῆς πράσεως τὴν ὁδὸν τὴν φέρουσαν ἐν τῷ ἀγρῷ, ἔῤῥωται τοῦτο τὸ σύμφωνον [1].

15. Ἐάν ὑπεξούσιός τις κατὰ τὸν νόμον παραχωρησθῇ παρὰ τοῦ πατρὸς αὐτοῦ ἔχειν πεκούλιον ἢ ἰδικόν τι κτῆμα, καλῶς καὶ ἐῤῥωμένως δύναται ἀγοράσαι παρὰ τοῦ ἰδίου πατρός [2].

c. 14 D 16. Ἐάν τινες ἔχωσί τι ἐπίκοινον πρᾶγμα, εἴτε δοῦλον, εἴτε ἵππον [b], καὶ συμφωνήσωσιν ἀνάμεσον αὐτῶν μὴ ἔχειν ἄδειαν πωλῆσαι εἷς [c] αὐτῶν ἄνευ τῆς βουλῆς τοῦ ἑτέρου, καὶ εἷς ἐξ αὐτῶν θελήσῃ πωλῆσαι τὸ μέρος αὐτοῦ, μέλλει πρῶτον διαμαρτύρασθαι αὐτῷ ἢ πωλῆσαι ἢ ἀγοράσαι, καὶ μετὰ ταῦτα ἀκωλύτως πωλείτω [3].

(a) *O* ἐκβαλεῖ ? *Il Cod. reca* ἐκβάλει (b) *Cod.* ἵππῶν (c) *Cod.* εἰς

14. Si quis fundum vendiderit et a venditione viam ad fundum exceperit, pactum validum est.

15. Si quis patriae potestati subditus a patre peculium aut praedium aliquod proprium possidendi licentiam habuerit, pulcre et valide a patre suo emere potest.

16. Si qui rem communem habeant, sive servum, sive equum, et inter sese paciscantur, neminem eorum rei distrahendae absque alterius voluntate licentiam habiturum, et alter ex iis partem suam alienare velit, necesse habet ut alteri prius aut de venditione aut de emtione testificetur et deinde absque impedimento vendat.

« ὀφείλει ζημιοῦσθαι. καὶ δεῖ οὕτως διαστῖξαι· εἰ μὲν εἰς ἑαυτὸν ὁ πράτης ἀνεδέξατο τὴν τοῦ πεπραμένου οἰκέτου φυλακὴν ἕως τῆς παραδόσεως, χρεωστεῖ ἀκριβεστάτην καὶ ὑπερβάλλουσαν παραφυλακήν, καὶ αὐτὸς ἐπιγνώσεται τὴν ἐντεῦθεν ζημίαν· εἰ δὲ μὴ ἀνεδέξατο εἰς ἑαυτόν, ἕξει τὸ ἀμέριμνον. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν ζώων, οἷον ἵππου, ὄνου, καμήλου καὶ ὅσα τοιαῦτά ἐστι. πάντως δὲ χρεωστεῖ ὁ πράτης τῷ ἀγοραστῇ τὴν διαυθέντευσιν καὶ διεκδίκησιν ». Cf. *Ecl. ad Proch. mut.* XI, 5.

(1) *Epanag.* XXIII, 10: « Ὁ ἐν πράσει ἀγροῦ ὑφεξελὼν ἑαυτῷ μνημεῖον, καὶ τὴν ἐπ' αὐτῷ φέρουσαν ὁδὸν ὑφεξελεῖν πιστεύεται ».

(2) Cf. *Epanag.* XXIII, 12.

(3) Cf. *Epanag.* XXIII, 13; ed *Ecl. ad Proch. mut.* XI, 6, che per qualche frase si avvicina più al nostro.

Τίτλος η'.

Περὶ τῶν ἐξ ἀδιαθέτου κληρονόμων καὶ λεγάτων καὶ περὶ τῶν ἐξ ἀχαριστίας (a) *ἐκπιπτόντων.*

1. Ἐάν τις χωρὶς διατυπώσεως τελευτήσῃ, καὶ ὑπάρχουσιν αὐτῷ παῖδες ἢ καὶ ἔγγονα, οὗτοι μέλλουσι κληρονομῆσαι αὐτόν, εἰ τάχα διαθήκην οὐκ ἐποίησεν (b). εἰ δὲ παῖδες ἢ ἔγγονα οὐχ ὑπάρχουσι τῷ τελευτήσαντι χωρὶς διαθήκης, καὶ πατέρας ἔχει ἢ πάππον καὶ μάμμην ἢ ἄνωθεν τούτων, οὗτοι μέλλουσι κληρονομεῖν αὐτόν. εἰ δ' οὔτε τέκνα οὔτε ἔγγονα οὔτε γονεῖς οὔτε πάππος καὶ μάμμη ὑπάρχουσι τῷ ἀδιαθέτως τελευτήσαντι, οἱ ἐγγύτεροι τῶν ἄλλων ἴδίων τοῦτον κληρονομείτωσαν (c) (1). c. 15 A

2. Ἐὰν δὲ τελευτήσῃ υἱός τινος ἀνθρώπου ἢ θυγάτηρ ἄτεκνος καὶ χωρὶς διαθήκης, ζώντων τῶν γονέων αὐτοῦ, καὶ εἰ μὲν ὁ τελευτήσας

(a) *Cod.* ἀχαριστείας (b) εἰ τάχα - ἐποίησεν] *da espungere.* (c) *Cod.* κληρονομήτωσαν.

Titulus VIII.

De heredibus ab intestato et legatis et de his, qui per ingratitudinem hereditate cadunt.

1. Si quis intestatus moriatur et filii aut etiam nepotes ei sint, hi succedere debent, nisi forte testamentum condiderit. Quod si intestato decedenti liberi aut nepotes non sint, sed genitores, vel avum et aviam vel horum maiores habeat, hi succedere debent. Sin autem neque liberi neque nepotes neque genitores neque avus et avia intestato decedenti sint, reliquorum parentum propiores succedant.

2. Si cuiusdam filius vel filia sine liberis et testamento decesserit, parentibus adhuc superstitibus, etsi moriens fratres vel etiam

(1) Cf. *Ecl. isaur.* VI, 1, 2. Si osservi come il nostro ne ha cangiato in parte la dizione: « Ἐάν τις ἀδιάθετος τελευτήσει καὶ ὕπεισιν αὐτῷ τέκνα ἢ καὶ ἔγγονα, ταῦτα κληρονομείτωσαν. εἰ δὲ ὑπάρχει τῷ τελευτήσαντι πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη, ἢ καὶ ἐπέκεινα, οὗτοι κληρονομεῖν, τῶν τέκνων καὶ ἐγγόνων ὑπόντων, οὐ δύνανται. εἰ δὲ καὶ οὐκ εἰσὶ τέκνα εἴτε ἔγγονα, ἔστι δὲ πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη, οἱ ἐγγύτεροι κληρονομείτωσαν ».

ἔχει ἀδελφοὺς ἢ καὶ ἀδελφὰς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ μητρός (1), οἱ γονεῖς αὐτοῦ τοῦτον (a) κληρονομείτωσαν (b), καὶ μὴ ἐχέτωσαν ἄδειαν οἱ ἀδελφοὶ αὐτοῦ λέγειν περὶ τούτου τι. εἰ δὲ γονεῖς οὐκ ἔχει ὁ τελευτήσας, ἔχει δὲ πάππον (c) ἢ μάμμην, οὗτοι ἅμα τοῖς ἀδελφοῖς αὐτοῦ τοῖς ὁμοπατρίοις καὶ ὁμομητρίοις (d) κληρονομείτωσαν (e). εἰ δὲ οὔτε πάππος οὔτε μάμμη, οὔτε ὁμοπάτριοι καὶ ὁμομήτριοι ἀδελφοὶ ὑπάρχουσι τῷ τελευτήσαντι χωρὶς διαθήκης, τότε κληρονομεῖν αὐτὸν μέλλουσιν οἱ ἐκ πατρὸς ἢ μητρὸς αὐτῶν (f) ἀδελφοί (2). εἰ δέ, καθάπερ εἴπομεν, οὐχ ὑπάρχουσιν
c. 15 B ἀδελφοὶ τῷ ‖ τελευτήσαντι, εἰσὶ δὲ συγγενεῖς αὐτῷ, ἐκεῖνοι κληρονομείτωσαν (g) αὐτόν, οἵτινες ὑπάρχουσιν ἐγγυτέρου βαθμοῦ, ἢ (h) ὡς οἱ ἐξάδελφοι (3).

3. Εἰ δὲ οὔτε συγγενεῖς ὑπάρχουσι τῷ τελευτήσαντι, γυναῖκα δὲ κατέλιπεν, ταύτης λαβούσης (i) τὸ ὑπόβολον αὐτῆς, ἅπασα ἡ ἄλλη περιουσία αὐτῷ τῷ δημοσίῳ ἀπελθέτω. εἰ δὲ οὔτε γυνὴ ὑπάρχει τῷ τελευτήσαντι, ἅπασαν τὴν αὐτὴν περιουσίαν τὸ δημόσιον ἐχέτω (4).

(a) *Cod.* τοῦτο (b) *Cod.* κληρονομήτωσαν (c) *Cod.* πάππων (d) *Cod.* ὁμομιτρίοις (e) *Cod.* κληρονομήτωσαν (f) αὐτῶν] *Della stessa mano, come sembra, ma aggiunto nel margine laterale interno con richiamo.* (g) *Cod.* κληρονομήτωσαν (h) ἢ] *Così il Cod.; devesi leggere* ἤγουν *?* (i) *Cod.* ταύτη λαβούση

sorores ex eodem patre et matre habeat, parentes illi succedant, neque fratres contradicere audeant. Quod si parentes moriens non habeat, habeat autem avum vel aviam, hi una cum illius fratribus ex eodem patre et matre succedant. Sed si neque avus neque avia neque fratres ex eodem patre et matre intestato decedenti sint, tunc ei fratres eorum ex patre vel ex matre succedere debent. Si demum, uti diximus, decedenti fratres non sint, sed propinqui tantum, illi succedant, qui propioris sunt gradus, veluti consobrini.

3. Quod si nulli propinqui sint defuncto, uxor vero supersit, haec hypobolum suum accipiat et tota reliqua substantia fisco adquiratur. Sin autem ne uxor quidem superstes sit, totam ipsam substantiam fiscus habeto.

(1) *Ecl.* VI, 3: « ἀδελφοὺς ἢ καὶ « ἀδελφὰς ὁμοπατρίους καὶ ὁμομητρίους « ἔχοντες ».

(2) *Ecl.* VI, 4: « τότε οἱ ἐξ ἑνὸς « γονέως ἀδελφοὶ τῇ κληρονομίᾳ ὑπεισερ- « χέσθωσαν ».

(3) Cf. *Ecl.* VI, 5.

(4) L'*Ecl.* VI, 6 attribuisce alla mo-

περὶ λεγάτων [a].

4. Ἐάν τις τελευτήσῃ καὶ εἰς τὴν διαθήκην αὐτοῦ κελεύσει [b] τινὰ λαβεῖν λεγάτα ἐκ τῶν ἰδίων πραγμάτων αὐτοῦ, μετὰ τὴν ἁρμόδιον καὶ φανερὰν ἔξοδον, ἣν ἐκέλευσεν ὁ τελευτήσας, διδόσθωσαν τὰ λεγάτα αὐτῷ, καὶ μὴ ἐχέτω ἄδειαν ὁ κληρονόμος ἐξοδιάζειν τὰ λεγάτα, ἅπερ ἠφῆκεν [c] ὁ πατὴρ αὐτοῦ, εἰς ἄλλην πρόφασιν καὶ αἰτίαν τινά [1], ὡς μὴ πληρῶσα τὸ θέλημα τοῦ πατρός.

5. Ἐάν τις κληρονόμος ἔχῃ εἴ‖δησιν τῆς ὑποστάσεως τῆς καταλειφθείσης αὐτῷ, καὶ οἶδεν ὡς ὅτι χρέος προϋπάρχει, ἐνώπιον τῶν ἀξιοπίστων μαρτύρων θεσπίζομεν ἵνα ποιήσῃ ἀναγραφὴν ἐκ τῆς ὑποστάσεως τῆς καταλειφθείσης αὐτῷ, καὶ ἵνα φανερωθῇ ἡ ποσότης τῆς ὑποστάσεως, ποῖα ὑπάρχει καὶ πόση καὶ ποταπή ἐστι [d]. καὶ τὸ μὲν πρῶτον οἱ δανεισταὶ λαμβανέτωσαν τὸ ἴδιον δάνειον, τὸ δὲ περιττεῦον ἐχέτω ὁ κληρονόμος [2]. c. 15 c

(a) περὶ λεγάτων] *rubrica da espungere.* (b) *Così il Cod. Cf. VIII, 7:* « ἀφή- « σει ». (c) *Cf. VI, 8.* (d) ποῖα ὑπάρχει - ποταπή ἐστι] *forse da espungere.*

de legatis.

4. Si quis moriens aliquem ex rebus suis legata accipere testamento iusserit, secundum aptam et manifestam expensam, quam moriens praescripsit, illi legata praestentur, neque heres potestatem habeat legata, quae pater largitus est, in aliam occasionem et causam expendendi, ut paternam non impleat voluntatem.

5. Si heres aliquis relictae sibi substantiae notitiam habeat et debita praecedere sciat, volumus ut coram fide dignis testibus relictae sibi substantiae inventarium conscribat, uti substantiae ipsius quantitas demonstretur, qualis scil., quanta et cuius naturae sit. Et primum quidem creditores pecuniam mutuo datam accipiant, quod autem reliquum est heres habeto. Quod si hoc heres facere

glie superstite « τὸ ἥμισυ μέρος ἁπάσης « τῆς περιουσίας »; il nostro invece le dà soltanto l'ipobolo, in conformità della modificazione avanti introdotta nel titolo II, 4, sulla base delle Novelle di Leone il Filosofo. Si confronti la mia *Notizia del Proch. leg.* nei *Rendiconti della R. Accademia dei Lincei,* seduta del 21 giugno 1885, p. 511 sg., e si corregga e supplisca con le osservazioni fatte in questa nota.

(1) Cf. *Ecl.* VI, 7.

(2) Cf. *Ecl.* VI, 8.

εἰ δὲ μὴ τοῦτο ποιήσῃ ὁ κληρονόμος, ἀλλὰ προπετῶς καὶ ἀνόμως ὑπεισέλθοι [a], καὶ φανῇ μέρος μὲν τῶν χρεῶν ἀποδοῦναι καὶ τὸ ὑπόλοιπον τῆς οὐσίας κρατῆσαι εἰς τὴν ἰδίαν δεσποτείαν, ἀναγκαζέσθω ἀποδοῦναι καὶ τὸ ὑπόλοιπον χρέος, διότι οὐκ ἐγνώρισε δι' ἁρμοδίου ἀναγραφῆς τὴν ποσότητα καὶ ποιότητα τῆς ἐγκαταλειφθείσης αὐτῷ κληρονομίας [1]. εἰ δὲ
c. 15 D μετὰ καιρὸν πολὺν ‖ διεγείρεται χρέος τῷ τελευτήσαντι, ὅπερ ὁ κληρονόμος μηδὲν ἐγίνωσκεν, ἀποκοπτέτω μετὰ τῶν δανειστῶν τοῦ ἰδίου πατρός, διὰ μαρτύρων ἢ καὶ δι' ὅρκου, ὅπερ ηὗρε τῆς ὑποστάσεως καὶ περιελθὸν εἰς αὐτὸν, καὶ πλέον τῶν εὑρεθέντων πραγμάτων οὐκ ἀπαιτείσθω [b] [2].

6. Ἐὰν κληρονόμος, οἷος δ' ἂν ὑπάρχῃ, ἢ λεγατάριος φανῇ ἀποκρύψαι τὴν διαθήκην, ἣν ἀφῆκεν αὐτῷ ὁ τελευτήσας, καὶ ὕστερον εὑρεθῇ αὕτη παρ' ἐκεῖνον, ὁ μὲν κληρονόμος ἐκπιπτέτω τῆς κληρονομίας, ὁ δὲ λεγατάριος ἐκ τοῦ λεγάτου αὐτοῦ [3].

7. Ἐάν τις τελευτήσῃ καὶ τὴν ἰδίαν ὑπόστασιν καταλείψῃ [c] τῷ

(a) *Così il Cod.* (b) *Cod.* ἀπετείσθω (c) *Cod.* κατὰ λίψη

neglexerit et temere ac proterve hereditatem adierit et debita ex parte tantum solvisse ac reliquam substantiam in suam potestatem redigisse constiterit, et reliqua debita solvere adigatur, propterea quod per aptum inventarium quantitatem et qualitatem relicti sibi patrimonii non patefecit. Si post longum vero tempus defuncti debita excitentur, quae heres prorsus ignorabat, patris creditoribus satisfaciat ex eo, quod reperit et quod ad illum pervenit, per testes seu per iusiurandum ostendendum, et nil amplius rebus inventis ab eo efflagitetur.

6. Si heres, quisquis sit, vel legatarius testamentum, quod ei moriens tradidit, occultasse demonstretur et demum testamentum ipsum apud illum inveniatur, heres quidem hereditate, legatarius vero legato cadat.

7. Si quis moriens heredi suo substantiam suam, puta sine

(1) Cf. *Ecl.* VI, 9.

(2) *Ecl.* VI, 10: « Εἰ δὲ ἐσχάτως ἀναφυῶσι τὰ χρέη, τοῦ κληρονόμου τὴν « περὶ τούτου ἄγνοιαν κεκτημένου, διὰ « μαρτύρων ἢ καὶ δι' ὅρκου τὸ εὑρεθὲν τῇ « ὑποστάσει καὶ περιελθὸν εἰς αὐτὸν παρι« στᾶν αὐτὸν, καὶ πρὸς αὐτὸ ἀποκοπτέτω « μετὰ τῶν χρεωφειλετῶν αὐτοῦ, καὶ μη« δὲν παραιτέρω τοῦτον ἀπαιτεῖσθαι ».

(3) Cf. *Ecl.* VI, 11.

οἰκείῳ κληρονόμῳ, τυχὸν ἀγράφως ἢ καὶ χωρὶς μαρτύρων, ἢ τὴν παντελῆ διοίκησιν τῆς κληρονομίας ἀφήσει αὐτῷ, καὶ μετὰ καιρόν τινα ἀναφανῇ (a) τις ἐγκαλῶν κατ' αὐτοῦ περὶ λεγάτου τοῦ ἐα||θέντος αὐτῷ παρὰ τοῦ τε- c. 16 A
λευτήσαντος, καὶ δείξει (b) διὰ μαρτύρων ἢ ἄλλως πως ἀληθῆ ὑπάρχειν τὰ παρ' αὐτοῦ λεγόμενα, διδόσθω τῷ λόγῳ τοῦ κληρονόμου (1).

8. Ἐκπίπτουσι τῆς ἐννόμου κληρονομίας δι' ἀχαριστίαν (c) οἱ παῖδες, ἐὰν τύψωσι τοὺς ἰδίους γονεῖς, ἢ ἐὰν βαρέως αὐτοὺς ὑβρίσωσιν, ἢ κατηγορήσωσιν αὐτοὺς εἰς ἔγκλημα, ἢ συκοφαντήσωσιν, ἐὰν φαρμάκοις συναναστρέφεται ὡς φάρμακος, ἢ ἐὰν ἐπιβουλεύσωσιν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτῶν, ἐὰν τῇ μητρυιᾷ αὐτοῦ ἢ τῇ παλλακίδι τοῦ πατρὸς αὐτοῦ σωματικῶς ἁμαρτήσῃ, ἐὰν οἱ παῖδες προσταχθέντες παρὰ τοῦ βασιλέως μὴ θελήσωσιν ἀντιφωνῆσαι τοὺς ἰδίους πατέρας ἐν φυλακῇ ὑπάρχοντας (2), ἐὰν ἡ θυγάτηρ μὴ θελήσῃ κατὰ νόμον ζευχθῆναι || ἀνδρὶ νομίμῳ, βου- c. 16 B
λομένων τοῦτο τῶν ἰδίων γονέων, ἀλλὰ μᾶλλον ἀγαπήσει ἀσώτως καὶ

(a) *Cod.* ἀναφανεῖ (b) *Così il Cod.* (c) *Cod.* ἀχαριστεῖαν

scriptura vel etiam absque testibus, reliquerit vel ei totam hereditatis administrationem tradiderit, nec multum postea aliquis apparuerit ab eo legatum sibi a defuncto relictum querens et testibus vel alio quocumque modo dicta sua vera esse ostenderit, heredis discretioni tradatur.

8. Hereditate legitima per ingratitudinem cadunt liberi, si parentes suos verberaverint, aut gravi iniuria affecerint, aut criminalem in eos accusationem intenderint, aut eos calumniati fuerint, si tamquam veneficus cum veneficis conversetur, aut si quocumque modo vitae eorum insidias struxerint, si novercam suam aut patris pellicem carnaliter cognoverit, si filii a rege iussi pro parentibus custodia detentis respondere noluerint, si filia legitimo viro legitime nubere noluerit, parentibus hoc volentibus, sed po-

(1) Cf. *Ecl.* VI, 12. Si noti però che l'Ecloga fa l'ipotesi che il sedicente legatario non riesca a dimostrare la sua qualità: « καὶ ἀναφυῇ τις ἐγκαλῶν « λεγάτον αὐτῷ ἐαθῆναι παρὰ τοῦ τελευ- « τήσαντος, παραστῆσαι δὶ διὰ μαρτύρων « ἢ καὶ ἑτέρως πως ἀληθείας τὰ παρ' αὐ- « τοῦ λεγόμενα ἔχεσθαι οὐ δύναται, δι- « δόσθω τῷ λόγῳ τοῦ κληρονόμου ». Forse nel nostro Codice innanzi al verbo « δείξει » dovrebbe stare la negazione « οὐ ».

(2) *Ecl.* VI, 13: « ἐὰν τοὺς γονεῖς « φυλακιζομένους οἱ ἄῤῥενες παῖδες προ- « τραπέντες μὴ ἀντιφωνήσωσιν ».

αἰσχρῶς διάγειν, ἐὰν μὴ θελήσωσιν οἱ παῖδες βοηθῆσαι τοῖς μαινομένοις γονεῦσιν αὐτῶν (1).

Τίτλος θ'.

Περὶ κουρατώρων καὶ κουρατωρίων.

1. Ἐὰν ἔκ τινων γονέων καταλειφθῶσιν ὀρφανοὶ καὶ νήπιοι, καὶ ὑπόστασις τούτοις ὑπάρχει ἐκ τῶν τελευτησάντων γονέων, εἰ μὲν οἱ γονεῖς αὐτῶν τελευτῶντες κατέλειψαν αὐτοῖς κουράτωρα ἐγγράφως ἢ καὶ ἀγράφως, ἡ βούλησις τῶν τελευτησάντων γονέων φυλαττέσθω. εἰ δὲ οὐκ ἀφῆκαν τοῖς ὀρφανοῖς κουράτωρα, αἱ ἅγιαι ἐκκλησίαι ἐχέτωσαν τὴν κουρατωρίαν τῶν ὀρφανῶν· ἐν μὲν τῇ θεοφυλάκτῳ πόλει (2) λαμβανέτω
c. 16 c τὴν κουρατωρίαν τῶν ὀρφανῶν ‖ τὸ ὀρφανοτροφεῖον καὶ οἱ λοιποὶ εὐαγεῖς οἶκοι καὶ αἱ περιφανέσταται ἐκκλησίαι, ἐν δὲ ταῖς ἄλλαις ἐπαρχίαις τὰ ἐπισκοπεῖα ἐχέτωσαν τὴν κουρατωρίαν τῶν ὀρφανῶν, καὶ τὰ μοναστήρια καὶ ἐκκλησίαι, μέχρις ὅτου ζευχθῶσιν οἱ ὀρφανοὶ ἐλθόντες εἰς καιρὸν

tius inhoneste et turpe vivere elegerit, si demum liberi parentibus suis furentibus auxilium denegaverint.

Titulus IX.

De curatoribus et curationibus.

1. Si a parentibus aliquibus pupilli et infantes relicti fuerint, quibus parentum defunctorum substantia sit, si parentes decedentes in scriptis vel etiam citra scripturam curatorem illis ordinaverint, defunctorum parentum voluntas servetur. Quod si pupillis curatorem minime statuerint, pupillorum curationem venerabiles ecclesiae suscipiant: in divinitus quidem custodita urbe pupillorum curationem habeant orphanotrophium et reliquae venerabiles domus ac illustres ecclesiae, in aliis vero provinciis episcopia, monasteria et ecclesiae pupillorum curationem habeant, quousque pupilli

(1) *Ecl.* loc. cit.

(2) *Ecl.* VII, 1: « ἐν μὲν τῇ Θεοφυλάκτῳ ταύτῃ πόλει »; il « ταύτῃ », che si riferisce a « πόλει » è scomparso nel nostro.

γάμου. εἰ δὲ καὶ πρὸς γάμον οὗτοι οἱ ὀρφανοὶ ἐλθεῖν οὐ θελήσουσι, μέχρις εἰκοσαετοῦς κρόνου προστάττομεν ἵνα αὐτοὶ οἱ εὐαγεῖς οἶκοι καὶ τὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι τὰς ὑποστάσεις τῶν ὀρφανῶν φυλάξωσι, καὶ μετὰ ταῦτα ἀνελλειπῶς διδότωσαν τοῖς ὀρφανοῖς τὰς ὑποστάσεις αὐτῶν· οὐ γὰρ ἀρέσκει τῷ θεῷ ἵνα οἱ εὐαγεῖς οἶκοι καὶ αἱ τοῦ θεοῦ ἐκκλησίαι, αἵτινες μέλλουσι προΐστασθαι τῶν ἀλλοτρίων πραγμάτων καὶ ξενοδοχεῖν ὡς ἰδίους τοὺς ξένους καὶ ὑποδέχεσθαι κατὰ τὴν ἐντολὴν τοῦ c. 16 D
κυρίου, ἵνα κρατήσωσι καὶ ἁρπάσωσι τὸ πρᾶγμα τῶν ὀρφανῶν καὶ νηπίων (1).

Τίτλος ι'.

Περὶ ἐλευθεριῶν.

1. Τότε ἐπιτίθεται τῷ δούλῳ σου ἐλευθερία, ὁπόταν παρά σου τοῦ δεσπότου αὐτοῦ δημοσιευθῇ, εἴτε ἐν ἐκκλησίᾳ παρόντων ἱερέων, ἢ

ad nuptiarum tempus pervenientes matrimonium contrahant. Si pupilli matrimonium contrahere noluerint, volumus ut usque ad vicesimum aetatis annum religiosae domus et monasteria et ecclesiae pupillorum substantias custodiant et postea substantias ipsas integras pupillis exhibeant; Deo enim non placet venerabiles domus et Dei ecclesias, quae rebus alienis praeesse et extraneos tamquam propinquos hospitio, iuxta Dei praeceptum, excipere debent, pupillorum et infantium res possidere ac rapere.

Titulus X.

De manumissionibus.

1. Tum servo tuo acquiritur libertas, cum a te domino eius libertate donatur, aut in ecclesia praesentibus sacerdotibus, aut

(1) Si osservi quest'ultima parte nell'*Ecl.* loc. cit.: « οὐ γὰρ ἀρεστὸν τῷ θεῷ « ἐστι τοῦ, καθάπερ μέχρι τοῦ νῦν, κουράτωρας ἑτέρους προβάλλεσθαι καὶ τὰ τῶν « ὀρφανῶν κατεσθίειν, κἀκεῖνα (leggi κἀ« κείνους) προσαιτεῖν ». Il nostro ha tralasciato questo luogo; pare che queste disposizioni non siano state a lungo osservate e, dopo la caduta degli Isauri, vennero restituiti i principî del diritto giustinianeo sulla tutela. Cf. intorno a ciò ZACHARIAE, *Geschichte des griechisch-römischen Rechts* [2], p. 100 sg.

ἐπὶ φίλων ε' τούτου χάριν προσκληθέντων, ἢ καί, ἐὰν ε' μάρτυρες οὐχ εὑρεθῶσι, τρεῖς μόνοι ἀρκοῦσιν, οἵτινες μέλλουσι ποιῆσαι ἀπογραφὰς καὶ μέλλουσιν ἐν αὐταῖς τὴν ἑαυτῶν εἴδησιν ὁμολογεῖν· εἴτε δι' ἐπιστολῆς τοῦ δεσπότου, ἐχούσης ὑπογραφὰς ε' μαρτύρων ἢ καὶ γ', καθάπερ εἴρηται· καὶ ἡ (a) διαθήκη ἐγγραφομένη δίδοται τῷ οἰκέτῃ σου (1)· ἢ ὅτε ὁ δοῦ-
c. 17 A λος φορέσῃ εἰς τὴν κεφαλὴν αὐτοῦ πανν̄ὶν (b) καὶ ἐπακολουθήσει ‖ τῇ ταφῇ τοῦ τελευτήσαντος δεσπότου αὐτοῦ τῇ βουλήσει τοῦ τελευτήσαντος δεσπότου ἢ τῇ παραχωρήσει τοῦ κληρονόμου (2)· ἢ ἐὰν ὁ δεσπότης ζεύξῃ ἐλευθέρῳ προσώπῳ τὸν ὑποκείμενον αὐτῷ δοῦλον (3), ἢ καὶ πάλιν ὁ δεσπότης αὐτοῦ ἀναδέξηται αὐτὸν ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος, ἢ καὶ ἡ τούτου κυρία, ἢ τὰ αὐτῶν τέκνα τῷ θελήματι καὶ τῇ προστάξει τῶν γονέων αὐτῶν (4). εἰ δέ τις δοῦλος κατέχεται ἐν δουλείᾳ

(a) ἢ ? *Cod.* ἡ. (b) *Così il Cod.*

coram .v. amicis ad hoc vocatis, quod si .v. testes non inveniantur, vel tres tantum sufficiunt, qui cartas conficere et in ipsis scientiam suam testificare debent: aut per epistolam domini, quae .v. vel etiam .III. testium, uti dictum est, subscriptiones habeat, et quae testamento inscripta servo tuo datur: aut quum servus linteum in capite gestaverit et mortui domini funus fuerit prosecutus, domini defuncti voluntate vel heredis licentia: aut si dominus servum sibi subiectum liberae personae in matrimonio coniunxerit: aut demum si dominus vel domina vel horum liberi parentum voluntate ac iussu ipsum e sacro et salutari baptismate susceperint. Si servus aliquis his praescriptis modis libertate donatus in servitute

(1) Cf. *Ecl.* VIII, 1 (corrispondente all'*Ecl. priv. auct.* IX, 1, ed all'*Ecl. ad Proch. mut.* X, 1): « Ἐπιτίθεται οἰκέτῃ « ἐλευθερία, ὁπόταν παρὰ τοῦ ἰδίου κυρίου « δημοσιευθῇ εἴτε ἐν ἐκκλησίᾳ ἢ καὶ ἐπὶ « φίλων πέντε ἐπὶ τούτῳ προσκληθέντων « ἢ καὶ ε' μὴ εὑρισκομένων καὶ μέχρι τριῶν « ἀπογραφομένων τε καὶ ἀποτιθεμένων « ἐπὶ πράξεως ὑπομνημάτων τὴν οἰκείαν « εἴδησιν ». Si noti che il nostro, oltre a presentare, come anche altrove notammo, il caso in forma più concreta, col rivolgere il discorso ad un supposto interlocutore, dopo la parola « ἐκκλησίᾳ » aggiunge « παρόντων ἱε- « ρέων », e non fa poi nessuna menzione della « πράξεως ὑπομνημάτων », ma parla soltanto di « ἀπογραφάς ».

(2) Cf. *Ecl.* VIII, 2.

(3) Cf. *Ecl.* VIII, 3.

(4) L'*Ecl.* VIII, 4, dopo il caso riferito dal nostro, continua ancora in questo capo: « ἢ καὶ ἐὰν εἰδήσει καὶ « βουλῇ τοῦ κυρίου αὐτοῦ κληρικὸς ἢ μο-

ὑπὸ τούτων τῶν προειρημένων τρόπων ἐλευθερίᾳ τιμηθείς, προσερχέσθω τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ τοῖς ἄρχουσι τῆς χώρας, καὶ τούτοις ἀποδεικνύτω τὴν ἐπιτιθεῖσαν αὐτῷ ἐλευθερίαν, καὶ τῆς δουλείας ἀπολυέσθω (1).

2. Ἠλευθερώθη τις δούλη ἐν διαθήκῃ, ἐὰν τρία ‖ τέκῃ (a) · εἰ δ' (b) ἔτεκεν ἓν καὶ μετὰ ταῦτα τρία, ὁ τέταρτος τῶν παίδων ἐλεύθερός ἐστι · ἀπὸ γὰρ τοῦ τρίτου ἐξέβη ἡ αἵρεσις τῆς ἐλευθερίας, ὥσπερ οἱαδήποτε ἑτέρα αἵρεσις, καὶ τὸν τέταρτον παῖδα ἐλευθέρα οὖσα τέτοκε, καὶ αὐτὸς ἐλεύθερος ὑπάρχει (2). c. 17 B

3. Ὁ ἀγοράζων ἐκ τῶν ἐχθρῶν ἐλεύθερον αἰχμάλωτον, ἐὰν ἀποκαθίστησιν αὐτὸν ἐν τῷ ἰδίῳ οἴκῳ, εἰ μὲν ὁ αἰχμάλωτος δυνηθῇ πληρῶσαι τὸ τίμημα, ὅπερ ἐστοίχησαν ἀνάμεσον αὐτῶν, ἀπελθέτω ἐλεύθερος · ἐχέτω

(a) *Cod.* τεκεῖ (b) εἰ δ'] *parole mancanti nel Cod.*

detineatur, sanctam Dei ecclesiam et regionis magistratus adeat hisque libertatem sibi concessam demonstret et servitute solvatur.

2. Ancilla quaedam libertate in testamento donata est, si tres filios pariat: si unum etiam post hos tres peperit, quartus ex filiis liber est: post tertium enim filium extitit conditio libertatis, veluti quaecumque alia conditio, et cum iam libera esset quartum filium edidit, qui et ipse liber est.

3. Qui ab hostibus liberum hominem captivum redimit eumque in domum propriam restituit, si captivus pretium inter ipsos conventum solvere potuit, liberum abire sinat: redemptor autem

« ναχὸς γένηται. αἱ δὲ εἰρημέναι ἐλευ-« θερίαι ἀπεντεῦθεν ἤδη ἢ καὶ ὑπὸ ὅρον « παρὰ τῶν κυρίων δίδονται ». Questo luogo, che trovasi del pari nell'*Ecl. priv. auct.* IX, 3 e nell'*Ecl. ad Proch. mut.* X, 5, fu forse tralasciato dal nostro, perchè la condizione dei servi che passavano al sacerdozio era regolata da norme speciali connesse col sistema feudale, già stabilito anche nell'Italia inferiore. Si vegga, su tal proposito, l'*assisa normanna 39 del cod. Cass.* pr. BRANDILEONE, *Il diritto romano nelle leggi normanne e sveve,* Torino, 1884, p. 138.

(1) Cf. *Ecl.* VIII, 5. Si osservi che agli « ἄρχουσι τῆς χώρας » del nostro nell'Ecloga corrispondono « προσφόροις « ἄρχουσι ».

(2) Nè l'Ecloga nè gli altri compendi da essa derivati hanno corrispondenze con questo capo, il quale riproduce con forma propria i *Basilici* XLVI, 1, 12 (corrispondenti ai *Dig.* I, 5, 15): « Ἐὰν εἴπω Μαρίαν ἐλευθέραν εἶναι, εἰ « τρεῖς τέκοι, καὶ τέκῃ μὲν ἐν μίᾳ γαστρὶ « ἓν ἢ δύο, ἐν ἄλλῃ δὲ δύο ἢ τρία, τὸ « ὕστερον ὡς ἐξ ἀπελευθέρας τίκτεται ». Cf. *scholion* 1 ivi: « Τῇ θεραπαίνῃ τις « τῇ ἑαυτοῦ κατὰ διαθήκην ἐλευθερίαν « καταλέλοιπεν οὕτως εἰπών · » &c.

αὐτὸν ὁ ἀγοράσας οὐχ ὡς δοῦλον, ἀλλ' ὡς μίσθιον αὐτοῦ, μέχρις ἂν πληρωθῇ ἅπερ ἐστοίχησεν αὐτῷ δοῦναι, ὁπόταν τοῦτον ἐξηγόρασεν· ἀλλὰ καὶ μέλλει τυπῶσαι ἐνώπιον ἀκροατῶν τί μέλλει λογίζεσθαι καθ' ἕκαστον ἔτος ὑπὸ τῆς δουλείας αὐτοῦ (1).

c. 17 c 4. Οἱ ἀπελεύθεροι, κἂν στρατιῶται γίνονται, καταδουλοῦνται ὑπὸ τοιούτων ἀχαριστιῶν (a)· ἐὰν τύψωσιν ἢ ὑβρίσωσι τούς ποτε κυρίους αὐτῶν ἢ τὰ τέκνα αὐτῶν, ἢ τραχηλιάσωσι (b) κατ' αὐτῶν ἔκ τινος ἀδίκου κενοδοξίας, ἢ καὶ παράσχωσιν αὐτοῖς μικράν τινα αἰτίαν καὶ ἀφορμὴν προσκρούσεως ἢ ζημίας, ἢ ἐπιβουλεύσουσι κατ' αὐτῶν, καὶ ἀποδειχθῇ τοῦτο παρὰ τῷ ἄρχοντι ἢ τῷ δικαστῇ τῆς πόλεως (2).

5. Ὁ δοῦλος ὑπὸ τῶν πολεμίων αἰχμαλωτιζόμενος καὶ ἐνδεικνύμενός τι κατόρθωμα ὑπὲρ τῆς πόλεως ὑφ' ἧς ἠχμαλωτίσθη, καὶ μετὰ ταῦτα πάλιν ὑποστραφῇ τῇ πόλει, παραχρῆμα ἐλευθερούσθω.

6. Ὁ δὲ αἰχμαλωτισθεὶς ὑπὸ τῶν πολεμίων, καὶ πάλιν ἀποφυγὼν
c. 17 d ἐξ αὐτῶν μὴ ποιῶν τι κατόρθωμα, ἀλλ' οὕτως ἀνθυπο‖στρέφει, οὗτος

(a) *Cod.* ἀχαριστειῶν (b) *Cod.* τραχιλιάσωσι

eum non uti servum, sed uti mercenarium suum habeat, donec quae ei, quando ipsum redemit, dare promisit adimpleat; debet etiam coram iudicibus definire quid pro unoquoque servitutis anno computandum.

4. Liberti, etsi milites sint, his ex ingratitudinibus in servitutem denuo rediguntur: si dominos suos vel liberos eorum verberaverint aut iniuriis affecerint, aut in eos iniusta quadam et inani gloria cervices erexerint, aut levem aliquam illis causam et occasionem offensae vel damni praebuerint, aut in eos coniuraverint et hoc apud magistratum vel iudicem civitatis demonstretur.

5. Servus ab hostibus captus, qui erga civitatem, unde captus fuit, nobile quoddam facinus edat posteaque in civitatem redeat, illico servitute solvatur.

6. Qui autem ab hostibus captus ab ipsis, nullo facinore edito,

(1) Cf. *Ecl.* VIII, 6, la quale prima della frase: « ἐχέτω αὐτὸν ὁ ἀγοράσας » ha le parole: « εἰ δὲ ἀπορεῖ », che il nostro tralascia.

(2) Cf. *Ecl.* VIII, 7. Si noti il « τῆς πόλεως », che il nostro aggiunge al semplice « ἄρχοντι ἢ δικαστῇ » dell'Ecloga.

δουλευέτω ε' χρόνους τῷ ἰδίῳ δεσπότῃ, καὶ μετὰ ταῦτα ἐλεύθερος γενόμενος ἀπολυέσθω (1).

7. Ἐάν τις δοῦλος ἑκουσίως προστρέχῃ εἰς τοὺς ἐχθρούς, καὶ μετανοῶν πάλιν ὑποστρέψῃ ἐξ αὐτῶν καὶ ἀνακάμψῃ, ἕως τέλους ζωῆς αὐτοῦ (a) ἔστω δοῦλος (2).

Τίτλος ια'.

Περὶ ἐμφυτεύσεως.

1. Κελεύομεν ἵνα γένωνται αἱ ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας τῆς βασιλίδος τῶν πόλεων καὶ παρὰ (b) τοῦ ὀρφανοτροφείου, καὶ παρὰ (c) τῶν ξενώνων καὶ παρὰ τῶν νοσοκομείων καὶ παρὰ τῶν πτωχείων, ἀλλ' οὐχὶ εἰς ἅπαντα τὰ πρόσωπα, ἀλλ' εἰς ἐκεῖνον μόνον τὸν λαμβάνοντα εἰς ἐμφύτευσιν, καὶ εἰς ἐφεξῆς ἄλλους δύο κληρονόμους αὐτοῦ, τουτέστιν υἱοὺς καὶ ἐγγόνους αὐτοῦ (3).

(a) *Cod.* αὐτῶ (b) *Cod.* περὶ (c) *Cod.* περὶ

effugiat et ita revertat, iste .v. annos domino suo serviat et postea liber effectus solvatur.

7. Si servus aliquis sponte ad hostes transeat et deinde eum poeniteat et ab illis recedat et revertat, usque ad vitae eius exitum servus esto.

Titulus XI.

De emphyteusi.

1. Iubemus emphyteuses fieri a sanctissima ecclesia reginae inter urbes et ab orphanotrophio et a xenodochiis et a nosocomiis et a ptochiis, non omnibus quidem personis, sed illi tantum, qui emphyteusim accipit, et duobus aliis deinceps illius heredibus, scilicet filiis et nepotibus ipsius.

(1) I capi 5 e 6 del nostro corrispondono all'*Ecl.* VIII, 8, la quale a sua volta risponde all'*Ecl. priv. auct.* IX, 6 ed all'*Ecl. ad Proch. mut.* X, 7.
(2) Cf. *Ecl.* VIII, 9.
(3) Cf. *Proch. Bas.* XV, 1.

c. 18 A 2. Οἱ εὐαγεῖς τόποι, τουτέστιν αἱ ἐκκλησίαι καὶ τὰ θεῖα ‖ μοναστήρια, ἐὰν οὐ δυνηθῶσιν ἀποδοῦναι τὸ χρέος τοῦ δημοσίου, ἀκωλύτως καὶ ἀνεμποδίστως δύνανται πωλῆσαι καὶ ἐκ τῶν κτημάτων τῶν θείων ἐκκλησιῶν· ἀλλ' οὖν αὕτη ἡ πρᾶσις, δίκαιον ὑπάρχει ἵνα ἐξετασθῇ παρὰ τοῦ μητροπολίτου τῆς χώρας, μετὰ τῶν ἐπισκόπων αὐτοῦ καὶ κληρικῶν, προκειμένων μᾶλλον, ὅταν ἡ ἐξέτασις γενηθῇ, τῶν θείων εὐαγγελίων. καὶ εἰ μὲν ὁ μητροπολίτης μετὰ τῶν ἐπισκόπων καὶ κληρικῶν οὐ δύνανται εὑρεῖν ἄλλην ὁδὸν ὅθεν ἠδυνήθη ἀποδοθῆναι τὸ δημόσιον χρέος, βεβαία ὑπαρχέτω ἐπὶ τοῖς σεκρέτοις ἐκείνη ἡ πρᾶσις τῶν ἀκινήτων πραγμάτων, καὶ διδούσθω (a) τῷ δημοσίῳ τὸ τίμημα τῶν πραθέντων πραγμάτων, καὶ
c. 18 B ἀπόδειξις τῶν ἐπισκόπων καὶ ‖ κληρικῶν ἔμπροσθεν ἵνα γένοιτο περὶ τῶν καταβληθέντων, τουτέστιν ἀποδοθέντος τιμήματος τῷ δημοσίῳ (1).

(a) *Così il Cod. Cf. XII, 11* « διδοῦντα »

2. Venerabilia loca, hoc est ecclesiae et sacra monasteria, si fisci debitum solvere nequeunt, impune et absque impedimento aliquid etiam ex divinarum ecclesiarum possessionibus vendere possunt; sed iustum est, ut venditio ipsa a regionis metropolita una cum episcopis suis et clericis examinetur, sacris evangeliis, dum examen expletur, etiam propositis. Et si metropolita cum episcopis et clericis aliam viam, qua fisci debitum solvi possit, invenire nequit, venditio illa rerum immobilium apud secretos confirmetur et fisco detur pretium rerum venditarum et episcoporum clericorumque declaratio de solutis praecedat, h. e. de pretio fisco dato.

(1) Si noti in questo capo la frase del nostro: « βεβαία ὑπαρχέτω ἐπὶ τοῖς « σεκρέτοις ἐκείνη ἡ πρᾶσις τῶν ἀκινήτων « πραγμάτων », che corrisponde a quest'altra del *Proch. Bas.* XV, 2: « βε- « βαιούσθω τῶν ἀκινήτων ἡ πρᾶσις ἐπὶ « δεκρέτῳ », la quale ha la sua spiegazione nella Novella XLVI, 1: « δε- « κρέτου γινομένου παρὰ τῷ τῆς ἐπαρχίας « ἄρχοντι ». Sicchè nel diritto bizantino il decreto autorizzante in questo caso la vendita degli stabili ecclesiastici era emesso dal preside della provincia. Il nostro invece attesta che una tale vendita degli immobili ecclesiastici diventava perfetta presso i Secreti, « ἐπὶ τοῖς σεκρέτοις »: sotto la quale parola parmi possa intendersi così un ufficiale dell'epoca bizantina come un altro dell'epoca normanna. Oltre il « σεκρέτον δικῶν ἰδιωτικῶν », sul quale confrontisi ZACHARIAE, *Gesch. des griechisch-röm. Rechts*, p. 349, e che non ha rapporti col nostro passo, nel *Syllabus graec. membr.* del TRINCHERA, Napoli, 1865, p. 22 sgg., è ricordato « Λέων

3. Ἐὰν ἡ ἐκκλησία χρεωστῇ ἰδιώτῃ τινὶ ἀνθρώπῳ χρέος, ἀναγκάζεται ἐκεῖνος παρὰ τοῦ κριτοῦ τῆς χώρας ὑπὲρ τοῦ χρέους λαβεῖν πρᾶγμα ἀκίνητον (1).

4. Κελεύομεν ἵνα τὰ ἐρείπια τῆς ἐκκλησίας Κωνσταντινουπόλεως δοθῶσιν εἰς διηνεκῆ ἐμφύτευσιν ἐπὶ τρίτῃ μοίρᾳ τῶν δυναμένων ἐνοικεῖν τὴν κτῆσιν ἐκείνην, ἢ ἵνα δοθῶσιν ἐπὶ τῷ ἡμίσει τῶν ἐνοικίων μετὰ γενομένην οἰκοδομὴν παρὰ τοῦ ἐμφυτευτοῦ (2).

3. Si ecclesia privato cuidam homini debito tenetur, ille a regionis iudice rem immobilem pro debito accipere cogitur.

4. Iubemus collapsas domus constantinopolitanae ecclesiae in perpetuam emphyteusim dari pro tertia parte pensionis, quae pro illa possessione solvi poterat, aut dari pro semisse pensionis post reparationem ab emphyteuta factam.

« σπαθαροκανδιδάτος ἀσηκρητὴς καὶ « κριτὴς Λαγγουβαρδίας καὶ Καλαβρίας », o sia « Leo spatharocandidatus a se- « cretis et iudex Langobardiae et « Calabriae », il quale nel novembre 1026 pronunzia in Taranto una sentenza in favore di un monastero. Sicchè la frase del nostro Prochiron « ἐπὶ « σεκρέτοις » potrebbe ben trovare la sua illustrazione in questo documento. Ma essa può anche indicare l'ufficiale normanno conosciuto sotto il nome di « magister dohane de secretis et « questorum », del quale si conosce che ebbe, per una legge di Guglielmo II (*Const. Sic.* I, 62), l'incarico di vendere i beni di quei chierici o laici « de terra demanii », che fossero morti intestati e senza eredi legittimi. L'affinità tra un tale incarico e quello, di cui si parla in questo capo del Prochiron mi fa propendere a ritenere che qui si accenni appunto all'ufficiale normanno, e che il testo del Prochiron Basilii sia stato in questo senso modificato dal raffazzonatore del nostro Prochiron. Va inoltre qui ricordato un altro documento del *Syll.* cit. p. 310, in cui « οἱ ἐπὶ τοῦ σεκρέτου Εὐγέ- « νιος καὶ Ἰωάννης » nel marzo 1192 concedono facoltà a un tale di costruire un molino in quel di Gerace, coll'obbligo di pagare una pensione annua al baiulo di questa città. Su questo ufficiale normanno cf. il mio *Diritto bizantino nell' Italia meridionale*, p. 72.

(1) Come nel capo precedente il nostro ha parlato di un « μητροπολίτου τῆς « χώρας », così qui fa cenno del « κριτοῦ « τῆς χώρας », mentre il *Proch. Bas.* XV, 3 (corrispondente all'*Epanag.* X, 8) dice soltanto : « ἀναγκάζεται λαβεῖν καὶ « ἀντὶ τοῦ χρέους ἀκίνητον πρᾶγμα ».

(2) Com'è espresso dal nostro questo capo è poco intelligibile; diventa chiaro mettendolo in confronto col testo del *Proch. Bas.* XV, 4: « τὰ ἐρεί- « πια τῆς ἐκκλησίας Κωνσταντινουπόλεως « διηνεκῶς ἐμφυτευέσθωσαν ἐπὶ τῇ τρίτῃ « μοίρᾳ τῶν ἐῤῥωμένων (leggi ἐῤῥωμένης) « τῆς κτήσεως (κτίσεως?) ἐνοικίων, ἢ ἐπὶ « τῷ ἡμίσει τῶν μετὰ τὴν ὑπὸ τοῦ ἐμφυ- « τευτοῦ γινομένην ἐπανόρθωσιν τῶν ἐνοι- « κίων ».

5. Συγχωροῦμεν δὲ καὶ στέργομεν γίνεσθαι τὰς μισθώσεις παρὰ τῶν ἁγίων ναῶν καὶ ἐκκλησιῶν κατὰ δύο τρόπους, ἢ μέχρις ἂν ζῇ ὁ ἐμφυτευτής, ἢ εἰς ὅσους ἂν χρόνους συναρέσῃ εἰς τοὺς συναλλάσσοντας,
c. 18 c ἀλλ' ὅμως κελεύομεν ἵνα ‖ μὴ ὑπερβαίνωσι τοὺς λ' [a] χρόνους [1].

6. Κωλύομεν τοὺς οἰκονόμους τῶν θείων ναῶν καὶ τοὺς ὀρφανοτρόφους καὶ τοὺς διοικητὰς τῶν ἄλλων εὐαγῶν οἴκων οὐ μὴν, ἀλλὰ καὶ τοὺς χαρτουλαρίους αὐτῶν καὶ τοὺς γονεῖς καὶ παῖδας αὐτῶν καὶ τοὺς κατὰ γένος αὐτοῖς συναπτομένους ἢ ἐκ γαμικοῦ δικαίου, τούτους πάντας τοὺς προειρημένους [b] ἀπαγορεύομεν καὶ κωλύομεν ποιῆσαι ἐμφυτεύσεις καὶ μισθώσεις, τουτέστι ὑποθήκας [c] ποιῆσαι τῶν ἁρμοζόντων πραγμάτων τοῖς εὐαγέσιν οἴκοις, ἢ δι' ἑαυτοῦ λαμβάνειν τι ἢ διὰ ξένου προσώπου· ὡς εἴ γέ τις ἐκ τῶν προειρημένων προσώπων τοιοῦτόν τι ποιήσει, κελεύομεν ἵνα ἐκπέσῃ ἀπὸ τῶν ἐμφυτευσαμένων καὶ ἐκμισθωσαμένων [d] τοῦ ἐμφυ-
c. 18 D τευθέντος πράγματος, καὶ ἵνα ζημιωθῇ καὶ τὸ τίμημα ‖ τὸ καταβληθὲν εἰς αὐτά. οἱ δὲ οἰκονόμοι καὶ χαρτουλάριοι καὶ διοικηταὶ τοσαύτην

(a) *Manca nel Cod. questa nota numerica; l'ho supplita in conformità del* Proch. Bas. XV, 5: τὸν τριακονταετῆ χρόνον (b) *Cod.* προήρημένους (c) *Cod.* ἀποθήκας (d) *Cod.* ἐκμισαμένων *Il luogo è corrotto: forse le parole* ἀπὸ – ἐκμισθωσαμένων *sono da espungere.*

5. Concedimus atque permittimus locationes a sacris templis et ecclesiis duobus modis fieri, aut donec emphyteuta vixerit, aut in quot annos contrahentibus placuerit; iubemus autem .xxx. annos non excedere.

6. Non solum sacrorum templorum oeconomos et orphanotrophos aliarumque venerabilium domorum administratores, sed et chartularios et genitores et filios eorum et illos, qui ipsis genere aut iure matrimonii coniuncti, omnes hos praedictos vetamus atque prohibemus emphyteuses et locationes, h. e. hypothecas rerum venerabilibus domibus spectantium facere, aut per se vel extraneam personam aliquid accipere. Quod si quis ex praedictis personis quid tale fecerit, volumus, ut emphyteutae et conductores a re in emphyteusim accepta cadant et etiam pretio pro ea soluto mulctenctur. Oeconomi autem et chartularii et administratores

(1) Cf. *Proch. Bas.* XV, 5.

ζημίαν ἐχέτωσαν ἐκ τῶν οἰκείων πραγμάτων, καὶ διδόσθω τῷ θείῳ οἴκῳ, ὅσην ὑπέστη ζημίαν ὁ ἐμφυτευσάμενος [a] ἐκ τῆς καταβληθείσης τιμῆς [1].

7. Ἐὰν ὑπάρχωσί τινες τόποι, οἵτινες ἁρμόζουσι τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἤ τινι τῶν προειρημένων εὐαγῶν οἴκων, ἐν οἷς ἐν πάλαι τῶν χρόνων αἱ διοικήσεις ὑπῆρχον, ἐξ ὧν ἀρτίως οὐδεμία πρόσοδος καὶ ὠφέλεια δίδοται αὐτοῖς, διότι ἐρείπια ἐγένοντο, οἱ [b] δὲ μνημονευθέντες οἶκοι, ἐν οἷς ἁρμόζουσιν οἱ τόποι, οὐ δύνανται τούτους ἀνοικοδομῆσαι, ἄδειαν δίδωμεν εἰς τοὺς διοικητὰς τῶν θείων ναῶν τούτων παρέχειν τοὺς αὐτοὺς τόπους τῷ διηνεκεῖ δικαίῳ τῆς ἐμφυτεύσεως, ἀλλὰ κατὰ τοῦτον τὸν τρόπον, ὥστε τὴν ἐμφύτευσιν γενέσθαι ‖ ἢ ἐπὶ τρίτῃ μοίρᾳ τῶν στεγονομίων, ἅτινα c. 19 A
συνέφερεν [c] ἀπὸ τῶν οἰκημάτων, ἀπὸ τοῦ πρώτου χρόνου τῆς ἐμφυτεύσεως, ἤ, ἐὰν θελήσῃ ὁ ἐμφυτευτής, εἰς τοιοῦτον σύμφωνον λαβεῖν τοὺς τόπους, ἵνα πρῶτον μὲν οἰκοδομήσῃ, καὶ ἐκ τῶν προγινομένων στεγονομίων εἰς τοὺς τόπους κατὰ διατίμησιν [d] τὸ ἥμισυ μέρος δώσει [e] τῷ εὐαγῇ οἴκῳ, παρ' οὗ ἐδέξατο τοὺς αὐτοὺς τόπους [2]. ἀλλὰ καὶ τοῦτο συγχωροῦμεν

(a) *Cod.* φυτευσάμενος (b) *Cod.* εἰ (c) *Cod.* συνήφερεν (d) *Cod.* διατιμησῆν *cioè* η *corretto.* (e) *Opp.* δώσῃ *Cod.* δόσει

tantum ex rebus propriis sacrae domui adiudicandum amittant, quantum damni ex persoluto pretio emphyteuta passus est.

7. Si quaedam loca sunt, quae ad ipsam sanctissimam ecclesiam vel ad quamdam ex praedictis venerabilibus domibus pertinent, in quibus ab antiquo aedificia exstabant, ex quibus nullus nunc redditus nullaque utilitas ipsis acquiritur, cum collapsa sint, et si memoratae domus, ad quas loca pertinent, ea reaedificare nequeunt, licentiam horum divinorum templorum administratoribus largimur loca ipsa perpetuo emphyteuseos iure locandi, hoc tamen modo, ut emphyteusis fiat aut tertia parte pensionum, quae ab aedificiis colligebantur, a primo emphyteuseos tempore, aut, si emphyteutae placuerit, hoc pacto loca accipiat, ut prius reaedificet et ex pensionibus a locis per aestimationem exactis venerabili domui, a qua

(1) Cf. *Proch. Bas.* XV, 6. In questo e nel capo precedente non vi sono che differenze di forma. Si noti che qui finisce questo titolo del Prochiron Basilii.

(2) A render chiara l'intelligenza del nostro dalle parole « ἀλλὰ κατὰ τοῦτον « τὸν τρόπον » in poi, credo necessario riferire il testo dell'*Epanag.* X, 4: « οὕτω μέντοι γε, ὥστε τὴν ἐμφύτευσιν

ἵνα γένοιτο, ἵνα ὁ ἐμφυτευτὴς χρήσηται ταῖς εὑρισκομέναις ὕλαις ἐκεῖ ἐκ τῶν χαλασάντων δσπητίων.

8. Οἱ εἰς ἐμφύτευσιν δεξάμενοι παρὰ τῶν εὐαγῶν μοναστηρίων ἢ ἐκκλησιῶν ἢ ἐπισκοπείων (a), ἢ μισθούμενοι, ἢ κατά τινα τρόπον δεχόμενοι πρᾶγμα ἀκίνητον, πολλὴν φροντίδα μέλλουσιν ἔχειν, ἵνα τὰ παρ' αὐτῶν καταβαλλόμενα εἰς ἀναγκαίας χρείας ἐκδαπανηθῶσι τῶν προειρημένων
c. 19 B ἐκκλησιῶν, ἢ εἰς ὅμοιον κτῆμα χρησιμεῦον ‖ τῇ αὐτῇ ἁγίᾳ ἐκκλησίᾳ (1). εἰ δὲ τὰ δαπανηθέντα παρ' αὐτῶν οὐ δίδονται (b) κατὰ τὸν προειρημένον τρόπον, ἀλλ' εἰς ἄλλας τινὰς ἰδίας χρείας, καὶ μὴ εἰς ὠφέλειαν τῶν εὐαγῶν οἴκων, ἐλεγχθῶσι ταῦτα παρέχειν (2), κελεύομεν ἵνα οἱ προειρημένοι εὐαγεῖς οἶκοι καὶ αἱ ἐκκλησίαι εἴσω τῶν τεσσαράκοντα χρόνων ἀγωγὴν

(a) *Cod.* ἐπισκοπίων (b) *Così il Cod.; ma Epanag. X, 6:* ἐὰν τὰ παρ' αὐτῶν καταβληθέντα μὴ διοικηθῶσιν

loca ipsa accepit, dimidium conferat. Et hoc fieri concedimus, ut emphyteuta inventa ibi materia ex collapsis aedificiis utatur.

8. Qui a venerabilibus monasteriis vel ecclesiis vel episcopiis rem immobilem in emphyteusim, in locationem vel in alium quemcumque modum accipiunt, plurimam curam adhibere debent, ut quae ab ipsis accepta in praedictarum ecclesiarum usus necessarios impendant, aut ad aliquid simile acquirendum, quod ipsi sacrae ecclesiae utile sit. Quod si quae ab ipsis impensa non iuxta praescriptum modum erogentur, sed in alios proprios usus et non in locorum venerabilium utilitatem ea illi praestare convincantur, praedictas venerabiles domus et ecclesias usque ad quadraginta

« ἢ ἐπὶ τρίτῃ μοίρᾳ τῶν στεγονομίων, « ἅτινα ἐκ τῶν οἰκημάτων ἔτι ἑστώτων « συνήγετο, ἐκ προοιμίων τοῦ χρόνου τοῦ « ἐμφυτεύματος προϊέναι· ἢ εἴπερ ὁ ἐμ- « φυτευτὴς βουληθῇ μᾶλλον ἐπὶ τούτῳ « τῷ ὅρῳ λαβεῖν τοὺς τόπους, ὥστε πρό- « τερον οἰκοδομῆσαι, καὶ ἐκ τῶν προσγι- « νομένων ἐκεῖσε στεγονομίων τὸ ἥμισυ « μέρος διδόναι τῷ εὐαγεῖ οἴκῳ, ἐξ οὗ τοὺς « αὐτοὺς τόπους λαμβάνει ».

(1) *Epanag.* X, 6: « ἵνα τὰ παρ' αὐ- « τῶν καταβαλλόμενα εἰς ἀναγκαίας « χρείας τῶν εἰρημένων ἐκκλησιῶν ἢ ἀν- « τεισαγωγὴν ἑτέρων κτημάτων χρησι- « μευόντων αὐταῖς ἐκδαπανηθῶσιν ».

(2) *Epanag.* loc. cit.: « ἐὰν δὲ τὰ παρ' « αὐτῶν καταβληθέντα μὴ κατὰ τὸν εἰρη- « μένον τρόπον διοικηθῶσι, ἀλλ' εἰς ἄλλας « τινὰς ἰδίας χρείας ἢ ἁπλῶς ἐξωθεν τῆς « ὠφελείας τῶν εἰρημένων οἴκων, οἱ ταῦτα « πεπρακότες ἢ ἁπλῶς ὁπωσδήποτε ἐκδε- « δωκότες τὰ καταβληθέντα καταναλώ- « σωσιν ».

κινήσωσι κατ' αὐτῶν, καὶ ἀναργύρως καὶ ἄνευ δόσεώς τινος λάβωσι τὰ οἰκεῖα πράγματα. εἰ δὲ τὴν ἁρμόζουσαν φροντίδα εἰς τὰ πράγματα τῶν εὐαγῶν οἴκων οἱ ἐμφυτευταὶ οὐκ ἐποίησαν, οὐδεμίαν ὠφέλειαν ἔξουσιν ἐξ αὐτῶν τῶν ἐμφυτεύσεων· ἀρκεῖ γὰρ αὐτοῖς τοῖς ἐμφυτευταῖς ὅτι οὐκ ἄλλην τινὰ τιμωρίαν ὑπομένουσι διὰ τὴν ἀμέλειαν αὐτῶν, ἀλλ' οὖν οἱ εὐαγεῖς οἶκοι δύνανται κατ' αὐτῶν ἐνάγειν εἰς ὅσον κατηνάλωσαν αὐτὰ εἰς οἰκείαν δαπάνην, ἢ ἁπλῶς ἔξωθεν τῆς ὠφελείας αὐτῶν ἐδαπάνησαν (1).

9. Ἐάν τις θελήσῃ λαβεῖν οἱονδήποτε πρᾶγμα ἀκίνητον παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας ἑνὸς τῶν προμνημονευθέντων οἴκων ὀνόματι χρήσεως (2), μὴ ἄλλως τοῦτο λαμβανέτω, εἰ μὴ παρέχῃ τῇ ἁγίᾳ ἐκκλησίᾳ εὐθὺς ἕτερον πρᾶγμα εἰς τὸν τόπον αὐτὸν δικαίῳ (a) δεσποτείας, τοσαύτην εἴσοδον καὶ πρόσοδον ἔχον, ὁπόσην ἔχει τὸ πρᾶγμα, ὅπερ αὐτῷ παρὰ τῆς ἐκκλησίας δίδοται, καὶ μὴ ὑπάρχον βεβαρυμένον (b) τελέσματι c. 19 c

(a) *Cod.* δικαιό (b) *Così il Cod.*

annos actionem in eos experiri et res suas gratis et absque ulla impensa recipere posse iubemus. Sin autem curam rebus venerabilium domorum debitam emphyteutae non adhibuerint, nullam utilitatem ex emphyteusibus ipsis percipient; sat enim est emphyteutas ipsos nulli aliae poenae propter suam negligentiam subiacere; sed venerabiles domus in ipsos agere possunt in quantum (illi) res in propriam utilitatem aut solum citra utilitatem earum expenderunt.

9. Si quis rem quamcumque immobilem a sanctissima ecclesia unius ex praedictis domibus ususfructus nomine accipere voluerit, non aliter eam accipiat, nisi statim sacrae ecclesiae rem aliam in eodem loco iure dominii conferat, quae eumdem reditum et proventum habeat, quem res ei ab ecclesia praestita habet, neque tributo et praestatione plurium fiscorum gravata sit; ita tamen ut,

(1) Cf. *Epanag.* loc. cit. Si noti che questo capo è speciale dell'Epanagoge.

(2) L'*Epanag.* X, 9 ha: « Εἴ τις βουλήθείη οἱονδήποτε πρᾶγμα ἀκίνητον « ὀνόματι χρήσεως λαβεῖν παρὰ τῆς ἁγιω- « τάτης μεγάλης ἐκκλησίας τῆς βα- « σιλίδος πόλεως ἢ ἑνὸς » &c. Il richiamo a Cpoli è stato soppresso nel nostro.

καὶ δόματι πλειόνων δημοσίων (1), ὥστε μετὰ τὴν τελευτὴν αὐτοῦ, ἢ μετὰ τὸν χρόνον ἐφ' ὃν ἡ δόσις (a) τῆς χρήσεως συνήρεσε, τουτέστι μὴ ὑπερβαίνοντα τὸν χρόνον ἐκεῖνον τὴν ζωὴν τοῦ λαβόντος, καὶ τὰ δύο πράγματα παρελθεῖν εἰς τὸν εὐαγῆ οἶκον, καὶ κατὰ χρῆσιν καὶ κατὰ δεσποτείαν.

10. Ἐπὶ (2) ταῖς ἄλλαις ἁγιωτάταις ἐκκλησίαις καὶ μοναστηρίοις
c. 19 D καὶ ξενῶσι καὶ νοσοκομίοις καὶ τοῖς ἄλλοις ‖ εὐαγέσιν οἴκοις τοῖς οὖσιν ἐν πάσαις ταῖς ἡμετέραις ἐπαρχίαις τῆς ἡμῶν βασιλείας συγχωροῦμεν καὶ ἄδειαν παρέχομεν μὴ μόνον ποιῆσαι πρόσκαιρον ἐμφύτευσιν τῶν ἀκινήτων αὐτῶν πραγμάτων τῶν ἁρμοζόντων αὐτοῖς, ἀλλὰ δοῦναι ταῦτα τοῖς βουλομένοις λαβεῖν διηνεκῶς τῷ δικαίῳ τῆς ἐμφυτεύσεως· καὶ εἰ μὲν ὁ θειότατος ἐπίσκοπος ἢ ἡγούμενος τῶν εὐαγῶν οἴκων καὶ μοναστηρίων,

(a) *Cod.* δόσης

post illius mortem, aut post tempus, in quod ususfructus datio pacta fuit, non excedens nempe tempus illud vitam accipientis, utraque res et quod ad usum et quod ad dominium sacrae domui acquiratur.

10. Aliis sanctissimis ecclesiis et monasteriis et xenodochiis et nosocomiis et reliquis venerabilibus domibus, quae in omnibus nostris provinciis regni nostri sunt, licentiam concedimus atque largimur non solum temporalem emphyteusim rerum immobilium ad ipsas spectantium faciendi, sed etiam eas perpetue emphyteutico iure accipere volentibus concedendi: et si sanctissimus episcopus aut higumenus venerabilium domorum et monasteriorum, aut per

(1) Il testo dell'*Epanag.* loc. cit. ha: « καὶ μὴ πλείοσι δημοσίοις τελέσμασι « βεβαρημένον ». Il nostro, parlando di tributo e prestazione a più di un fisco, ha inteso forse di accennare agli ordinamenti feudali?

(2) Questo capitolo non ha riscontro nè nel Prochiron Basilii, nè nell'Epanagoge, ma nella Novella CXX, 6, § 1. L'« ἐπὶ », col quale il nostro incomincia, nel testo della Novella fa parte di una costruzione speciale, che poi il nostro ha accorciato. Il passo citato della Novella dice: « ἐπὶ δὲ ταῖς ἄλλαις « ἁγιωτάταις – τοῖς ἐν ἁπάσαις ταῖς ἐπαρ- « χίαις τῆς ἡμετέρας πολιτείας κειμένοις, « οὐ μὴν ἀλλὰ καὶ μοναστηρίοις « ἐν τῇ βασιλίδι πόλει καὶ τῇ « αὐτῆς περιοικίδι τυγχάνουσιν « ἀκολούθως διορίσαι συνεῖδο- « μεν. § 1. ἄδειαν τοίνυν δίδομεν τοῖς « εἰρημένοις εὐαγέσιν οἴκοις » &c., fino alla parola « ἐμφυτεύσεως » del nostro.

ἢ δι' ἑαυτοῦ ἢ δι' ἄλλου προσώπου στέρξει γενέσθαι τὸ τοιοῦτον συνάλλαγμα, βεβαιούντων τοῦτο καὶ παρόντων τῶν οἰκονόμων καὶ διοικητῶν καὶ χαρτουλαρίων τῶν εὐαγῶν οἴκων, ὥστε ἐκ ταύτης τῆς φύσεως οὐδεμίαν ζημίαν ἐπάγεσθαι τῷ θείῳ οἴκῳ αὐτῷ [a], καὶ ἡμεῖς στέργομεν τὸ τοιοῦτον ἀντάλλαγμα γενέσθαι καλῶς [1]. εἰ δὲ πτωχεῖα ἢ [b] ξενῶνές εἰσιν, ἢ νοσοκομεῖα, ἢ ἕτεροι εὐαγεῖς οἶκοι ὑπάρχουσιν ‖ ἰδίαν διοίκησιν [c] c. 20 A
ἔχοντες, εἰ μὲν ἐν τοῖς ἁγίοις εὐκτηρίοις οἴκοις συμβαίνει ὑπάρχειν τὸ τοιοῦτον συνάλλαγμα, κατὰ γνώμην τοῦ πλείονος μέρους τῆς ἐκκλησίας καὶ τῶν ἐκεῖ λειτουργούντων κληρικῶν, ἀλλὰ καὶ τοῦ οἰκονόμου, γενέσθαι ἐπάναγκες · εἰ δὲ ξενώνων, ἢ πτωχείων, ἢ νοσοκομείων, ἢ ἑτέρου εὐαγοῦς οἴκου συμβῇ [d], τὸν προεστῶτα τούτων ποιεῖσθαι τὸ συνάλλαγμα, βεβαιούντων τοῦτο τῶν διοικητῶν, παρουσίᾳ γενέσθω τοῦ θεοφιλεστάτου

(a) *Cod.* αὐτοῦ (b) *Cod.* πτωχοὶ οἱ (c) *Cod.* τε οἴκησιν (d) *Cod.* συμβεῖ

se ipsum aut per aliam personam, contractum talem fieri consenserit, oeconomis et administratoribus et chartulariis venerabilium domorum praesentibus contractumque confirmantibus, ita ut ex hoc nullum venerabili domui damnum oriatur, nos quoque huiusmodi contractum recte fieri concedimus. Sin autem ptochia aut xenodochia vel nosocomia vel reliquae venerabiles domus sint, quae propriam administrationem habent, si quidem in sacris oratoriis huiusmodi contractum fieri contingat, secundum sententiam maximae partis ecclesiae et clericorum ibidem celebrantium necnon oeconomi necessario fiat; si vero xenodochiis aut ptochiis vel nosocomiis vel aliis venerabilibus domibus contingat ut his praepositus contractum ineat, administratoribus ipsum approbantibus, fiat prae-

(1) Questo periodo nella Novella loc. cit. è così espresso: « καὶ εἰ μὲν ἁγιώ- « ταται ὦσιν ἐκκλησίαι ἢ ἕτεροι εὐαγεῖς « οἶκοι, ὧν τὴν διοίκησιν ὁ κατὰ τόπον « ὁσιώτατος ἐπίσκοπος ἢ δι' ἑαυτοῦ ἢ διὰ « τοῦ εὐαγοῦς αὐτοῦ κλήρου ποιεῖται, κατὰ « τὴν γνώμην αὐτοῦ καὶ συναίνεσιν γίνε- « σθαι τὸ τοιοῦτο συνάλλαγμα, ὀμνύντων « παρόντος αὐτοῦ τῶν οἰκονόμων καὶ διοι- « κητῶν καὶ χαρτουλαρίων τοῦ αὐτοῦ « εὐαγοῦς οἴκου, ὡς ἐκ ταύτης τῆς ἐμφυ- « τεύσεως οὐδεμία ζημία τῷ αὐτῷ εὐαγεῖ « οἴκῳ ἐπάγεται ». Come vedesi, l'ultima proposizione del Prochiron, accennante all'approvazione di tale contratto da parte del legislatore, non ha riscontro nel periodo corrispondente del testo della Novella.

ἀρχιεπισκόπου παρ' οὗ προβάλλονται ἢ χειροτονοῦνται, ὡς οὐδὲν πρὸς βλάβην ἢ περιγραφὴν γενέσθαι τῶν ξενώνων ἢ μοναστηρίων τὸ τοιοῦτον συνάλλαγμα γίνεται [a] (1).

11. Κελεύομεν δέ, ἄνευ τῆς ἁγιωτάτης καὶ μεγάλης ἐκκλησίας τῆς βασιλίδος τῶν πόλεων, καὶ χωρὶς τοῦ εὐαγοῦς ὀρφανοτροφείου καὶ τῶν
c. 20 B ξενώνων καὶ πτωχείων ἐν ‖ τῇ βασιλίδι τῶν πόλεων [b] καὶ ὑπὸ τὴν αὐτῆς ὄντων ἐνορίαν, δυνατὸν ὑπάρχειν πάσαις ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς εὐαγέσιν οἴκοις, οὐ μὴν ἀλλὰ καὶ [2] τοῖς ἐν διαφόροις τόποις κειμένοις, ἀνταλλαγὰς ποιεῖσθαι πρὸς ἀλλήλας τῶν πραγμάτων ὧν ἔχουσιν, ὅταν εἰς τοὺς ἀμφοτέρους οἴκους τὸ ἀζήμιον φυλαχθῇ. ταύτην δὲ τὴν ἀλλαγὴν μέλλουσι στέρξαι ἐγγράφως ἢ διὰ καταθέσεως οὐ μόνον οἱ διοικηταὶ τῶν ἁγίων ναῶν, ἀλλὰ καὶ τὸ πλεῖον μέρος τῶν λειτουργούντων

(a) *Forse tutta la frase* τὸ τοιοῦτον συνάλλαγμα γίνεται, *o almeno quest'ultima parola è da espungere.* (b) *Cod.* πόλεων; *ma la parola espunta è corretta in margine laterale esterno con* πόλει *Cf. Epanag. X, 10.*

sentia sanctissimi archiepiscopi, a quo constituuntur et ordinantur, ne contractus talis in damnum aut ad circumscriptionem xenodochiorum aut monasteriorum ineatur.

11. Volumus ut, excepta sanctissima et magna ecclesia reginae urbium et exceptis venerabili orphanotrophio et xenodochiis et ptochiis in urbium regina et (iis), quae intra eius fines sunt, potestas sit non solum omnibus sanctissimis ecclesiis et venerabilibus domibus, sed illis etiam, quae in diversis locis sitae sunt, rerum, quas possident, permutationes inter sese faciendi, modo ambae domus indemnes serventur. Hanc autem permutationem adprobare debent per scripturam aut per depositionem non solum sacrorum templorum administratores, sed etiam maxima pars eorum,

(1) Anche quest'ultimo periodo è rifatto dal nostro in forma poco chiara. La Novella citata continua: « εἰ δὲ « πτωχεῖα ἢ ξενῶνες ἢ νοσοκομεῖα ἢ « ἕτεροι εὐαγεῖς οἶκοι ὦσιν, ἰδίαν διοίκησιν « ἔχοντες, εἰ μὲν ἁγίους εὐκτηρίους οἴκους « εἶναι συμβαίη, κατὰ γνώμην τοῦ πλεί- « ονος μέρους τῶν ἐκεῖσε λειτουργούντων « κληρικῶν, οὐ μὴν ἀλλὰ καὶ τοῦ οἰκο- « νόμου, εἰ δὲ ξενὼν, ἢ πτωχεῖον, ἢ « νοσοκομεῖον, ἢ ἕτερος εὐαγὴς οἶκος εἴη, « τὸν προεστῶτα τούτων τὸ συνάλλαγμα « ποιεῖσθαι, ὀμνύντων τῶν διοικητῶν τῶν « αὐτῶν οἴκων ἐπὶ παρουσίᾳ τοῦ θεοφι- « λεστάτου ἐπισκόπου ».

(2) L'*Epanag.* X, 10 aggiunge in questo luogo: « μοναστηρίοις, ἔν τε τῇ « βασιλίδι πόλει καὶ ἐν διαφόροις ».

ἐν αὐτοῖς, ἐπὶ προστάξει δηλονότι τοῦ θεοφιλεστάτου ἐπισκόπου τοῦ κατὰ τὸν τόπον ἐπισκοποῦντος.

12. Ἐπειδὴ ἔγνωμεν παρά τινων τῶν πιστοτάτων τῆς ἡμετέρας βασιλείας, ὡς ὅτι εἰσί τινες, οἵτινες τὰ ἱερὰ μοναστήρια ἀλλάσσουσιν εἰς ἰδιωτικὴν διαγωγὴν καὶ μετασχηματίζουσι [a], καὶ τοῦτο παντοιοτρόπως κωλύομεν. ‖εἰ δὲ εὑρεθῇ ποτε ἡ τοιαύτη ἐκποίησις, ὁ ἐπίσκοπος τῆς c. 20 c
ἐπαρχίας ἐπαναγέτω τὸ μοναστήριον εἰς τὸ ἀρχαῖον σχῆμα καὶ εἰς τὴν πρώτην τάξιν [1].

Τίτλος ιβ'.

Περὶ δανείου καὶ ἐνεχύρου.

1. Προστάσσομεν ἵνα οἱ καρποί, οὓς ὁ δανειστὴς ἐκ τῶν ἐνεχύρων λαμβάνει, ψηφισθῶσιν εἰς τὸ χρέος, ἐὰν μὴ ὀνομασθῇ ὅταν τὸ ἐνέχυρον δίδοται τόκος ἢ ἄλλο τι σύμφωνον· καὶ ἐὰν τοσοῦτοι ὑπάρχωσιν

(a) *Cod.* μετάσχιματίζουσι

qui in iis celebrant, hoc scilicet concedente sanctissimo episcopo illo in loco gubernante.

12. Postquam a quibusdam regni nostri fidelissimis cognovimus quosdam esse, qui sacra monasteria in privatam conditionem redigunt et transferunt, hoc quoque modis omnibus prohibemus. Quod si quando huiusmodi alienatio deprehendatur, provinciae episcopus monasterium ad antiquum statum et ad pristinum ordinem redigat.

Tit. XII.

De mutuo et pignore.

1. Iubemus fructus, quos creditor ex pignore percipit, in debitum imputari, nisi nominatim dictum sit quando pignus usuras reddat vel aliquid tale conveniatur; et cum pignoris fructus tanti

(1) Le parole: « τῶν πιστοτάτων τῆς « ἡμετέρας βασιλείας », in principio di questo capitolo, mancano nell'*Epanag.* X, 11, dalla quale è stato preso.

οἱ καρποὶ τοῦ ἐνεχύρου, ὅσον ὑπάρχει [a] τὸ χρέος, ἡ ἀγωγὴ λύεται, καὶ ἀποδίδοται τὸ ἐνέχυρον τῷ δεσπότῃ αὐτοῦ · εἰ δὲ οἱ καρποὶ εὑρεθῶσι πλείονες εἶναι τοῦ χρέους, καὶ οἱ περισσοὶ ἀποδίδονται (1).

2. Λογίζονται εἰς τὸ χρέος οἱ κάματοι τῶν δούλων καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων ὁσπηταίων · καὶ ἐὰν ὁμοίως εὑρεθῇ τὸ συναγόμενον παρ' αὐτῶν, λύεται ἡ ἀγωγή, καὶ οὐ δύναται ὁ δανειστὴς ἐγκαλέσαι περὶ τοῦ δανείου (2).

c. 20 D 3. Οὐ μόνον οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὓς ἔλαβεν ὁ δανειστής, ἀλλὰ καὶ οὓς ἠδύνατο στερρῶς τις σπουδαῖος [b] λαβεῖν. εἰ δὲ ὁ δανειστὴς ἔβλαψε τὸν ἀγρόν, ἐνάγεται καὶ περὶ τούτου ὁ δανειστής (3).

4. Ἐὰν συμφωνήσῃ ὁ χρεώστης λέγων οὕτως · ἐὰν οὐ δώσω σοι τὸ

(a) *Al margine esterno del Cod.* ὑπήρχε (b) *Cod.* στερόστισπουδαῖος

sint, quantum debitum est, actio tollitur pignusque domino redditur: quod si fructus maiores debito inveniantur esse, et superflui redduntur.

2. Imputantur in debitum operae servorum et pensiones domorum pignori datarum; et si quod ex ipsis collectum est, aequale inveniatur, tollitur actio et creditor de mutuo agere non potest.

3. Non solum in debitum imputantur agri fructus, quos creditor percepit, sed etiam quos quispiam diligens stricte percipere potuerat: quod si creditor agrum deteriorem effecit, hac quoque de causa convenitur.

4. Si debitor paciscatur ita dicens: si intra hoc tempus pecu-

(1) *Proch. Bas.* XVI, 1: « Οἱ ἐκ τοῦ « ἐνεχύρου ληφθέντες καρποὶ ψηφίζονται « εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένωνται « πρὸς τὸ ὅλον χρέος, λύεται καὶ ἡ ἀγωγὴ « καὶ ἀποδίδοται τὸ ἐνέχυρον. εἰ δὲ καὶ « πλείονές εἰσι τοῦ χρέους οἱ καρποὶ, « ἀποδίδονται οἱ περιττεύοντες ». Come vedesi, le parole del testo « ἐὰν μὴ ὀνο- « μασθῇ – ἄλλο τι σύμφωνον » sono estranee al *Prochiron Basilii;* esse si riferiscono ad una disposizione dell'*Epanag.* XXVIII, 2, che dal nostro è riferita nel capo 15 di questo titolo.

(2) L'ultima proposizione manca nel *Proch. Bas.* XVI, 2: « Τῆς δούλης « οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτε- « θέντων οἰκημάτων εἰς τὸ χρέος λογίζον- « ται · καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, « λύεται ἡ ἀγωγή ».

(3) Cf. *Proch. Bas.* XVI, 3, che ha: « οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς, ἀλλὰ « καὶ οὓς ἠδύνατο λαβεῖν ».

χρυσίον σου ἐν ταύτῃ τῇ ὁροθεσμίᾳ ἵνα ἔξοις [a] ἄδειαν τοῦ πωλῆσαι τὸ ἐνέχυρον· οὐ κωλύεται ὁ χρεώστης ἐγκαλέσαι κατ' αὐτοῦ, ἐὰν ὁ δανειστὴς ὀλιγώτερον ἐπώλησεν αὐτὸ παρ' ὃ ἔχρῃζε· τότε γὰρ δικαίως ὁ δανειστὴς ἐνάγεται (1).

5. Ἐὰν ὁ δανειστὴς ἀπολέσῃ τὸ ἐνέχυρον χωρὶς τῆς αὐτοῦ [b] αἰτίας, οὐκ ἐνάγει κατ' αὐτοῦ ὁ δεσπότης τοῦ πράγματος, ἀλλ' ἀζημίως ἀπώλεσεν αὐτό, εἰ δείξει ὅτι χωρὶς αἰτίας αὐτοῦ ἀπώλεσε· τὰ γὰρ κατὰ τύχην ἀπολλύμενα οὐ κινδυνεύονται τῷ δανειστῇ, καὶ οὐ μέλλει στρέφειν αὐτά, ἀλλὰ δύναται μᾶλλον ὁ κατὰ τύχην ἀπολέσας ‖ τὸ ἐνέχυρον ἀπαιτῆσαι c. 21 A
ὃ χρεωστεῖ αὐτῷ ὁ χρεώστης. εἰ δὲ ἤρεσε μεταξὺ τοῦ δανειστοῦ καὶ τοῦ χρεώστου, ὡς, εἰ χαθῇ [c] τὸ ἐνέχυρον, ἵνα ὁ χρεώστης ὑπάρξῃ ἐλεύθερος, τοῦτο τὸ σύμφωνον ἔῤῥωται (2).

6. Ὁ δανειστὴς ἐκεῖνος, ὅστις ἔλαβεν εἰς ὑποθήκην ἀγροὺς ἢ οἴκους,

(a) *Cod.* ἕξης (b) *Cod.* αὐτῆς (c) *Così il Cod. Il Proch. Bas. XVI, 5 ha*: « ἵνα « ἡ ἀπώλεια τῶν ἐνεχύρων ἐλευθερώσῃ τὸν χρεώστην ».

niam tuam tibi non reddam, potestatem pignoris alienandi habeas; debitor ipse in creditorem agere non prohibetur, si ille pignus minoris, quanti oportebat, vendiderit; tunc enim creditor recte convenitur.

5. Si creditor absque culpa pignus amiserit, pignoris dominus actionem in eum non habebit, sed impune illud amiserit, si absque culpa amisisse probaverit; quae enim fortuito amittuntur, creditori periculo non sunt, nec ea reddere debet, sed potius qui fortuito pignus amisit, quae debitor ei debet, petere potest. Sin autem inter creditorem et debitorem pactum sit, pignoris amissione debitorem liberari, huiusmodi contractus valeat.

6. Creditor, qui fundos vel domos in hypothecam accepit, a

(1) È molto degno di nota come il nostro volgarizzi quasi e spieghi questo luogo del *Proch. Bas.* XVI, 4: « Τὸ « συμφωνῆσαι τὸν χρεώστην, ἐν τῷ τὴν « προθεσμίαν αὐτοῦ τῆς καταβολῆς ὑπερ- « βαίνειν διάπρασιν γίνεσθαι τοῦ ἐνεχύρου, « οὐκ ἀναιρεῖ τὴν τοῦ ἐνεχύρου ἀγωγήν, « ὅταν ἐλάττονος πωλήσῃ ὁ δανειστής. « ὑπόκειται γὰρ τότε ὁ δανειστὴς τῷ « συμφώνῳ τῷ ἐν τῷ πλήθει πολιτευο- « μένῳ ἐναχθῆναι ». Messi a confronto i due testi, cioè il nostro e quello del *Proch. Bas.*, scorgesi ad evidenza, che il primo fu dettato per persone ignare del linguaggio giuridico.

(2) Cf. *Proch. Bas.* XVI, 5.

ἀναγκασθήσεται παρὰ τοῦ κριτοῦ εἰς ψῆφον ἐνεγκεῖν τοῦ χρέους τὴν ζημίαν ἣν ἐποίησεν αὐτὸς ἐν τοῖς τεμνομένοις παρ' αὐτοῦ δένδροις καὶ καταλυομένοις οἴκοις, καὶ ἐὰν κατὰ δόλον ἢ πταῖσμα αὐτοῦ τὸ ὑποτεθὲν πρᾶγμα χειρότερον ἐγένετο, καὶ τούτου χάριν ἐνέχεται ὁ δανειστὴς ἵνα τοιοῦτον ἀποκαταστήσῃ τὸ πρᾶγμα, ὃ ἔλαβεν εἰς ὑποθήκην [a] παρὰ τοῦ χρεώστου αὐτοῦ, ὁποῖον ὑπῆρχεν ἐν τῷ καιρῷ τῆς ὑποθήκης. ὁ δὲ δανειστὴς οὐ κωλύεται ἀπαιτῆσαι τὰ ἀναγκαῖα δαπανήματα, ἅπερ ἐξωδίασεν [b] εἰς τὸ ὑποτεθὲν πρᾶγμα [1].

c. 21 B 7. Τὰ πράγματα τὰ δοθέντα [c] εἰς ὑποθήκην λόγῳ ἐνεχύρου οἱ χρεώσται ζητοῦσι προσωπικῶς· οὐδὲ γὰρ δύναται ὁ δανειστὴς ἀφαιρεῖσθαι τὰ πράγματα τοῦ χρεώστου χωρὶς συμφώνου καὶ κελεύσεως αὐθεντικῆς, τουτέστιν οὐ δύναται πωλῆσαι τὰ πράγματα τὰ κατεχόμενα εἰς αἰτίαν ἐνεχύρου [2].

8. Ὁ δανειστὴς καὶ ὁ κληρονόμος αὐτοῦ οὐκ ἔχει μακροῦ χρόνου παραγραφὴν εἰς τὸ μὴ ἀποδοῦναι τὸ ἐνέχυρον μετὰ τὸ ἀπολάβειν τὸ χρέος, τουτέστιν οὐ δύναται εἰπεῖν, ὅτι ἀπῆλθεν ἡ τριακονταετία ἀφ' οὗ

(a) *Cod.* ἀποθήκην (b) *Cod.* ἐξοδιασεν (c) *Cod.* δωθέντα

iudice cogitur in debiti rationem damnum ab eo in arboribus decidendis domibusque destruendis factum deducere, et si eius dolo vel culpa res pignoratitia deterior facta est, hoc quoque nomine creditor tenetur, ut talem rem restituat, qualis tempore hypothecae fuerat. Creditor autem necessarios sumtus, quos circa rem pignoratitiam sustinuit, exigere non prohibetur.

7. Res pignoris causa hypothecae datas debitores actione in personam repetunt; creditor enim citra conventionem vel iudicialem iussionem res debitoris auferre non potest, scilicet res pignoris causa acceptas vendere nequit.

8. Creditor eiusque heres non habet longi temporis praescriptionem, ne pignus reddat postquam debitum accepit, h. e. dicere non potest: tricennale tempus abiit, ex quo debitum mihi sol-

(1) Cf. *Proch. Bas.* XVI, 6. Si osservi che in principio questo dice soltanto che il creditore deve imputare il danno nel credito, senza specificare che vi è costretto « παρὰ τοῦ κριτοῦ ». La collocazione delle parole, al solito, è più piana nel nostro.

(2) Cf. *Proch. Bas.* XVI, 7.

ἔδωκάς μοι τὸ χρέος, καὶ ὡς ἐκ τούτου οὐ ποιήσει[a] ἀπολογίαν, ὅτι παρῆλθεν ὁ τριακονταετὴς χρόνος[1].

9. Ὁ δεσπότης τοῦ δούλου, ἐὰν ἐπιτιθῇ[b] τὸν οἰκέτην αὐτοῦ τινος πραγματείας, τότε κατέχεται αὐτὸς ὁ δεσπότης ὡς χρεώστης[c], ὅταν ἐκέλευσεν αὐτῷ δανείζεσθαι. ‖ εἰ δὲ μὴ δειχθῇ ὅτι αὐτὸς ἐπέτρεψε δα- c. 21 C
νείζεσθαι, ζητῆσαι ἀναγκαῖόν ἐστι περὶ τοῦ πεκουλίου τοῦ δούλου, καὶ κατὰ πρῶτον λόγον ὁ δεσπότης αὐτοῦ λαβὼν τὸ χρέος αὐτοῦ, ἀπολήψεται ὕστερον καὶ ὁ δανειστής[2].

10. Ἐάν τις δανείσειε χρυσίον καὶ περὶ αὐτοῦ λάβοι ἐγγυητὴν ἢ μανδάτορα ἢ ἀντιφωνητήν, οὗτος ὁ δανειστὴς μὴ παρευθὺς ἀπερχέσθω κατὰ τοῦ μανδάτορος ἢ τοῦ ἐγγυητοῦ ἢ ἀντιφωνητοῦ, ἀμελήσας τοῦ δανεισαμένου, καὶ τὴν παραθήκην[d] διενοχλείτω· ἀλλὰ πρὸ πάντων[e] χωρείτω ἐπὶ τὸν εἰληφότα τὸ χρυσίον καὶ τὸ δάνεισμα λαβόντα. καὶ εἰ μὲν ἀπὸ τοῦ χρεώστου λάβοι τὸ χρέος αὐτοῦ, μὴ ἐχέτω ἄδειαν ζητῆσαι τοὺς προειρημένους. εἰ δὲ ὁ δανειστὴς μὴ δυνηθῇ λαβεῖν ἀπὸ τοῦ χρεώστου ὡς μὴ ἔχοντος, κατὰ τοσοῦτον ἐναγέτω ‖ κατὰ τοῦ ἐγγυητοῦ c. 21 D

(a) *Cod.* ποιῶσοι (b) *Cod.* ἐπιτιθῇ (c) *Cod.* δανειστής (d) *Cod.* παραθίκην
(e) *Cod.* πρὸσπάντων

visti; neque ex hoc defensionem nanciscatur, quod triginta anni transierint.

9. Dominus servi, si servum suum cuidam negotiationi praeposuerit, tunc tenetur dominus ipse tamquam debitor, si eum mutuari iussit. Sin autem ipsum mutuari permisisse non probatur, tunc de servi peculio inquirendum est et, postquam primo loco dominus debitum suum acceperit, creditor deinde recipiet.

10. Si quis pecuniam mutuam dederit et propterea fideiussorem aut mandatorem aut intercessorem acceperit, creditor iste non statim adversus mandatorem aut fideiussorem aut intercessorem eat et, debitore neglecto, intercessionem molestet; sed ante omnia ad eum, qui pecuniam accepit debitumque contraxit, veniat. Et si quidem a debitore debitum suum acceperit, praedictos requi-

(1) Cf. *Proch. Bas.* XVI, 8, che ha semplicemente: « μετὰ τὸ πληρωθῆναι « τὸ χρέος, τουτέστι τὴν τριακονταετίαν ».
(2) Cf. *Proch. Bas.* XVI, 9.

ἢ μανδάτορος ἢ ἀντιφωνητοῦ καὶ παρ' αὐτοῦ κομιζέτω ὅσον ὑπάρχει τὸ ἐλλειπὲς ἐκ τοῦ χρέους αὐτοῦ (1). καὶ εἰ μὲν ὁ πρωτότυπος, τουτέστιν ὁ χρεώστης (a), καὶ ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητὴς παρόντες αὐτῷ τύχοιεν, ἐκ παντὸς τρόπου φυλαττέσθω, ἵνα ὁ πρωτότυπος ἀποστρέψῃ τὸ χρέος (2). εἰ δὲ ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητὴς ἐν τῷ τόπῳ ὑπάρχει, ὁ δὲ χρεώστης μὴ παρεῖναι τῷ τόπῳ συμβῇ, δεικνύτω ὁ δανειστὴς τοῦτο τῷ ἐγγυητῇ ἢ τῷ μανδάτορι ἢ τῷ ἀντιφωνητῇ, καὶ ὁ ἐπὶ τοῦ τόπου κριτὴς διδότω καιρὸν τῷ ἐγγυητῇ ἢ ἀντιφωνητῇ ἢ μανδάτορι βουλομένῳ (b), τὸν πρωτότυπον φέρειν, ἵνα ἐκεῖνος πρῶτον ὑπομείνῃ τὴν ἀγωγήν, καὶ μετὰ ταῦτα ἐκεῖνοι (3).

c. 22 A II. Ἐάν τις δανείσειε χρυσίον τινὶ καταπιστευθεὶς τῇ ‖ περιουσίᾳ τοῦ δανεισαμένου, ὁ δὲ χρεώστης μὴ ἔχων χρυσίον εἰς τὸ ἀποδοῦναι τὸ

(a) *Cod.* δανειστὴς (b) *Cod.* βουλωμένω

rendi nullam habeat potestatem. Sin autem creditor a debitore, tamquam non habente, (debitum) consequi non potuit, pro tanto adversus fideiussorem aut mandatorem aut intercessorem agat et ab eo quantum ex debito reliquum est consequatur. Quod si forte πρωτότυπος, h. e. debitor, et fideiussor aut mandator aut intercessor adsint, omnino servetur, ut principalis debitor debitum solvat. Si vero fideiussor aut mandator aut intercessor in loco adsit, debitorem autem in loco non adesse contingat, creditor fideiussori aut mandatori aut intercessori hoc aperiat, et regionis iudex fideiussori aut intercessori aut mandatori debitorem principalem adducere volenti tempus concedat, ut ille prior actionem suscipiat, et postea illi.

II. Si quis alicui aurum mutuum dederit debitoris substantiae confisus, debitor autem aurum ad debitum solvendum non habens,

(1) *Proch. Bas.* XVI, 10: « καὶ εἰ « μὲν ἐκεῖθεν ἀπολάβοι, τῶν ἄλλων ἀπε- « χέσθω. εἰ δὲ οὐκ ἰσχύει παρὰ τοῦ δα- « νεισαμένου λαβεῖν εἰς μέρος ἢ εἰς ὁλό- « κληρον, καθόσον ἂν παρ' αὐτοῦ μὴ « δυνηθῇ λαβεῖν, κατὰ τοσοῦτον ἐπὶ τὸν « ἐγγυητὴν – χωρείτω, καὶ παρ' ἐκείνου τὸ « λειπόμενον κομιζέσθω ».

(2) Loc. cit.: « καὶ εἰ μὲν – τὰ προει- « ρημένα ἐκ παντὸς φυλαττέσθω τρό- « που ».

(3) Il *Proch. Bas.* loc. cit. non s'arresta a questo punto. Si noti solo che il « τοῦ τόπου κριτὴς » del nostro corrisponde a un « τῷ πράγματι καθή- « μενος δικαστής ».

χρέος ἔχει δὲ περιουσίαν ἀκίνητον, καὶ ὁ δανειστὴς ἀναγκάσει τὸν χρεώστην αὐτοῦ καὶ τὸ χρυσίον αὐτοῦ ἐπιζητήσει, εἰ (a) τὸ ἀργύριον οὐκ ἔστι τῷ χρεώστῃ οὔτε τις ἄλλη περιουσία κινητή. δίδομεν τῷ δανειστῇ ἄδειαν, ἐὰν θελήσῃ, καὶ ἀκίνητον πρᾶγμα λαβεῖν ἀντὶ τοῦ χρυσίου· εἰ δέ τις θελήσειεν ἀγοράσαι ἐκ τῶν ἀκινήτων πραγμάτων τοῦ χρεώστου, ἐὰν (b) ἐμποδισθῇ καὶ κωλυθῇ παρὰ τοῦ δανειστοῦ [1], τότε οἱ ἐνδοξότερα ἄρχοντες τῆς εὐτυχοῦς ταύτης πόλεως, κατὰ τὴν τεταγμένην δικαιοδοσίαν ἑκάστῳ ὑπὸ τοῦ νόμου καὶ παρ' ἡμῶν, ἐν (c) ταῖς ἐπαρχίαις οἱ προεστῶτες παρασκευαζέσθωσαν (2) ἵνα ἀκριβὴς διατίμησις (d) γένηται τῶν πραγμάτων τοῦ χρεώστου [καὶ ἀναδοθῇ τῷ δανειστῇ κατὰ τὴν ποσότητα τοῦ χρέους c. 22 B
μετὰ ταύτης ἀσφαλείας, μεθ' ἧς ὁ χρεώστης δυνηθείη δοῦναι· ἀλλ' οὖν ὁ δανειστὴς ἐπιλέξοι τὸ κάλλιον (e) ἐκ τῶν ἀκινήτων πραγμάτων τοῦ

(a) εἰ] *manca nel Cod.* (b) ἐὰν] *manca nel Cod.* (c) *Devesi leggere* καὶ ἐν *?* (d) *Cod.* διατίμησης (e) κάλλιον] *Ho creduto necessario supplire questa parola: il Proch. Bas. XVI, 11, ha:* « τῶν ἀκινήτων ἡ ἐπιλογὴ τῷ δανειστῇ ἔσται ».

substantiam vero immobilem habeat, et creditor debitorem urgeat aurumque suum efflagitet, si argentum debitori non sit, neque ulla alia mobilis substantia, creditori potestatem concedimus, si velit, rem immobilem pro auro accipiendi; et si quis (aliquid) ex immobilibus debitoris emere volens a creditore deterreatur atque impediatur, tunc gloriosissimi magistratus huius felicis urbis secundum iurisdictionem cuique a lege et a nobis praescriptam, et in provinciis praefecti curent, ut accurata rerum debitoris aestimatio fiat et creditori pro debiti quantitate dentur, cum tali cautione, quam debitor praestare poterit: creditor autem quod (pulchrius est) ex rebus immobilibus debitoris eligat; haud enim iustum

(1) *Proch. Bas.* XVI, 11: « Εἴ τις « δανείσειε χρυσίον τῇ τοῦ δανεισαμένου « περιουσίᾳ πιστεύων, ὁ δὲ εἰς ἔκπισιν « χρυσίου μὲν οὐκ εὐποροίη, περιουσίαν δὲ « ἀκίνητον ἔχοι, ὁ δανειστὴς δὲ ἐπικέοιτο « καὶ χρυσίον πάντως ἐπιζητοίη, τὸ δὲ « οὐκ εἴη πρόχειρον, οὐδέ τις κινητὴ πε- « ριουσία, – ἀλλ' οὐδέ τις ὠνούμενος ἀκί- « νητα αὐτῷ πράγματα παρείη τοῦ « δανειστοῦ πολλάκις καὶ δρυλ- « λοῦντος ὡς ὑπόκειται τὰ τοῦ « δανεισαμένου πράγματα καὶ « ταύτῃ φοβοῦντος τοὺς προσιέναι βουλο- « μένους ταῖς ἀγορασίαις ». Si notino le parole che mancano nel nostro, e si osservi come questo volgarizzi il testo del *Prochiron Basilii.*

(2) *Proch. Bas.* loc. cit.: « ἐν δὲ ταῖς « ἐπαρχίαις οἱ τῶν δημάτων ἡγού- « μενοι ».

δανεισαμένου, καὶ οὐκ ἔστι δίκαιον τὸν διδοῦντα [a] μὲν χρυσίον, λαβεῖν δὲ χρυσίον μὴ δυνάμενον, ἀλλ' ἀναγκαζόμενον καταδέξασθαι πρᾶγμα ἀκίνητον, μὴ λαβεῖν τὰ καλλίονα πράγματα τῶν ἀκινήτων πραγμάτων τοῦ χρεώστου, καὶ ἅπερ ὁ δανειστὴς ἐπιθυμήσει λαβεῖν, καὶ ταῦτα ἔχειν παραμυθίαν τοῦ χρυσίου, ὅτι κἂν τὸ χρυσίον οὐκ ἐδέξατο, ἀντὶ τοῦ χρυσίου τὸ ἀρεσθὲν ἐκείνῳ ἐδέξατο [1].

12. Ἐάν τις ἀρνήσηται τὸ οἰκεῖον ἰδιόχειρον ἢ τὴν καταβολὴν τοῦ χρυσίου τὴν γεναμένην ἐπ' αὐτῷ, οὗτος μετὰ ἐλέγχους τὸ διπλάσιον τοῦ πράγματος ἀποδώσει. ὁ δὲ φανερῶν τὴν ἀλήθειαν ὑπὸ φορᾶς ὅρκου
c. 22 c παρευ‖θὺς μετὰ τὸ ἀρνήσασθαι, οὗτος οὐ καταδικασθῇ [b] εἰς τὸ διπλάσιον, ἀλλ' εἰς ἁπλοῦν τὸ πρᾶγμα· ὁ δὲ βραδέως ὁμολογῶν τὴν ἀλήθειαν ἀποδώσει τὰς δαπάνας τῆς δίκης μετὰ τὸν ὅρκον, τοῦ ἀντιδίκου ὀμόσαντος ὅτι [c] τοσοῦτον ἐξωδίασεν [d] εἰς τὴν ἀπαίτησιν τῆς δίκης [2].

(a) *Così il Cod. Cf. XI, 2* διδούσῃ (b) *Cod.* κατὰ δικασθεῖ (c) ὅτι] *Manca nel Cod.* (d) *Cod.* ἐξωδιᾶσαν

est eum, qui aurum dedit et aurum recuperare non potest, sed rem immobilem accipere cogitur, non accipere pulchriores inter res immobiles creditoris et quas ipse accipere et in solatium auri habere optaverit, ita ut, etsi aurum non acceperit, pro auro tamen quod ei placuit consecutus sit.

12. Si quis proprium idiochirum aut pecuniae solutionem sibi factam negaverit, iste post convictionem duplum solvet. Qui vero iurisiurandi delatione statim post negationem veritatem patefecit, iste non in duplum, sed in simplum condemnetur; sero autem veritatem declarans litis impensas post iusiurandum solvet, adversario nempe iurante de impensis ad actionem movendam factis.

(1) Cf. *Proch. Bas.* loc. cit.

(2) Cf. *Proch. Bas.* XVI, 12. Si noti che questo, in principio, ha « συγγραφήν » invece dell'« ἰδιόχειρον » del nostro. A proposito della quale parola, parmi opportuno ricordare che in Amalfi ebbe un significato speciale, essendo adoperata ad indicare l'istrumento, col quale lo sposo confessava di aver ricevuto la dote promessa alla sposa e ne prometteva la conservazione e la restituzione. Cf. Consuetudini Amalfitane, cap. V, presso VOLPICELLA, op. cit. p. 19: « Restituuntur dotes si « causa affuerit infra biennium, licet « in receptione ipsarum, redacta in pu- « blico instrumento, quod ydiochy- « rus dicitur, non contineatur ».

13. Ἐάν τις χρεώστης ἀρνήσηται τὸ χρέος αὐτοῦ καὶ δειχθῇ αὐτῷ ὅτι χρεώστης ὑπάρχει, καὶ μετὰ ταῦτα δείξει ἀποδείξεις τοῦ χρέους ὅτι μέρος ἐκ τούτου δέδωκεν [a], οὐ λογισθήσεται αὐτῷ τοῦτο τὸ χρέος, ἀλλὰ τὸ πᾶν μέλλει δοῦναι [1].

14. Εἰ τάχα πολλοῖς τοῖς πρὸ ἡμῶν βασιλεῦσιν ἔδοξε δεκτέαν εἶναι τὴν ἀπολαβὴν τῶν τόκων, τυχὸν διὰ τὴν σκληρίαν καὶ ὠμότητα τῶν δανειστῶν, ἀλλ' οὖν ἐκρίναμεν ὑπάρχειν ταύτην ἀπευκταίαν ὡς ἀναξίαν τῆς ἡμῶν πολιτείας τῶν χριστιανῶν, διότι παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένη ὑπάρχει. διότι κελεύει ἡ ἡμετέρα μεγαλειότης μηδεμίαν c. 22 D
ἄδειαν ἔχειν τινὰ τόκον λαβεῖν ἐν μηδεμιᾷ ὑποθέσει, ἵνα μὴ ὑπολαμβάνοντες φυλάττειν νόμον θεοῦ, παραβαίνωμεν τὴν τούτου ἐντολήν [2]. ἀλλὰ κἂν λάβοι τίς τι, εἰς τὸ χρέος λογισθήσεται τῷ δανειστῇ.

15. Οἴδαμεν ὡς ὅτι προετάχθη τὰ ἐνοίκια τῶν οἰκημάτων καὶ τοὺς καρποὺς τῶν ὑποτεθέντων ἐνεχύρων καὶ τοὺς καμάτους τῶν δούλων ψη-

(a) *Così il Cod. Cf. II, 4.*

13. Si debitor aliquis debitum suum negaverit et ei probetur debitorem esse, posteaque debitum ex parte solvisse probationibus ostenderit, haec ei pars non imputabitur, sed totum praestare debebit.

14. Etsi pluribus ante nos regibus placuerit usurarum perceptionem esse recipiendam, forte ob creditorum duritiem et immanitatem, nos tamen, ut indignam nostra christianorum republica, reiiciendam esse iudicavimus, propterea quod divinis legibus prohibita est. Quam ob rem iubet magnitudo nostra neminem potestatem usuras ex quacumque causa accipiendi habiturum, ne dum Dei legem custodire videamur, ipsius praeceptum transgrediamur. Sed si quis aliquid acceperit, in debitum creditori imputetur.

15. Scimus praestitutum fuisse domorum pensiones et rerum oppigneratarum fructus et servorum operas in debitum imputari

(1) *Proch. Bas.* XVI, 13: « Τῷ ἀρνουμένῳ χρεώστῃ οὐ λογισθήσονται αἱ μετὰ ταῦτα προφερόμεναι τῶν καταβολῶν ἀποδείξεις, ἀλλὰ τὸ πᾶν ἀπαιτεῖται ».

(2) Questo luogo del nostro è evidentemente errato. Il *Proch. Bas.* XVI, 14, dal quale è preso, dice: « ἵνα μὴ νόμον φυλάττειν οἰόμενοι νόμον θεοῦ παραβαίνομεν· ἀλλὰ κἂν εἴ τις ὁσονδήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται ».

φίζεσθαι [a] εἰς τὸ χρέος ἔδει [b], καὶ ἐξίσου μενόντων τούτων κατὰ ποσότητα τοῦ χρέους, ἀπέλυε [c] τὸν χρεώστην τοῦ χρέους ἀναδιδοὺς αὐτῷ καὶ τὸ ἐνέχυρον· ἀλλ' ὁ παλαιὸς οὗτος νόμος συνεχώρει τιμωρεῖσθαι τοὺς χρεωφειλέτας εἰς ἑτέραν τινὰ ζημίαν βαρυτέραν τούτων, λέγω δὴ τὴν καταβολὴν καὶ ἀπαίτησιν αὐτῶν τῶν τόκων. ἀλλ' ἡμεῖς διὰ ταύτης τῆς
c. 23 A ἡμετέρας νομοθεσίας θέλοντες ἀπελάσαι καὶ τὸ ὄνομα τοῦ ‖ τόκου ἀπὸ τῆς ἡμετέρας πολιτείας, οὐ συγχωροῦμεν λογίζεσθαι εἰς τὸ χρέος τοὺς καρποὺς καὶ τοὺς καμάτους καὶ τὰ ἐνοίκια, ἀλλὰ προστάττομεν ἵνα ὁ δανειστὴς συνέξοι [d] τοὺς καρποὺς τῶν ἐνεχυριασθέντων ἀγρῶν καὶ τὰ ἐνοίκια τῶν οἰκημάτων καὶ τοὺς καμάτους τῶν δούλων, ἄχρις ἂν ἡ εἴσοδος ἐκείνων ἰσοθῇ τῷ τρίτῳ μέρει τοῦ δανείου [e], μετὰ δὲ ταῦτα, ἐὰν ὁ ἀγρὸς ἢ ὁ οἶκος ἢ δοῦλος φέροι τινὰ εἴσοδον, ταύτας τὰς εἰσόδους κελεύομεν ψηφίζεσθαι [f] εἰς τὸ χρέος. καὶ εἰ μὲν κατὰ τὸν καιρὸν τοῦ δανείσματος τοιοῦτον ἐγένετο σύμφωνον ἀναμεταξὺ τοῦ δανειστοῦ καὶ τοῦ χρεωφειλέτου, ἵνα ἀπ' αὐτῆς τῆς ὥρας οἱ καρποὶ τῶν ἐνεχυριασθέντων ἀγρῶν καὶ τὰ ἐνοίκια [g] καὶ οἱ κάματοι λογισθῶσιν εἰς ἀποπλήρωσιν τοῦ χρέους, καὶ
c. 23 B τοῦ ‖ το γίνεσθαι συγχωροῦμεν. καὶ γὰρ οὐ κωλύομεν τὸν δανειστὴν ἐάν τι φιλάνθρωπον ποιήσῃ, ἀλλ' ὅμως, ὡς προείρηται, ἀποῤῥίπτοντες

(a) *Cod.* ψιφίζεσθαι (b) *Così il Cod.* (c) *Così il Cod.* (d) *Cod.* συνέξη (e) *Cod.* δανειστοῦ (f) *Cod.* ψιφίζεσθαι (g) *Cod.* ἐνοίκεία

oportere et, his se cum debiti quantitate aequantibus, (lex) debitorem debito liberabat eique pignus restituebat. Sed antiqua haec lex debitores alia quadam et graviori poena affici concessit, usurarum nempe ipsarum repetitione et receptione. Nos vero hac nostra lege et nomen ipsum usurae ab hoc regno nostro reiicere cupientes, fructus et operas et pensiones in debitum imputari non sinimus, sed statuimus ut creditor oppigneratorum agrorum fructus et domorum pensiones et servorum operas percipiat, usque dum rerum earum reditus cum tertia debiti parte se aequarit, et deinde, si quid aliud lucri ager aut domus aut servus affert, hos reditus in debitum imputari iubemus. Quod si occasione mutui inter creditorem et debitorem pactum tale interveniat, ut oppigneratorum agrorum fructus et pensiones et operae ab ipsa hora in debiti solutionem computentur, hoc quoque fieri concedimus; creditorem enim, si quid

τοὺς τόκους, καὶ μὴ ἄλλον τινὰ ἔχειν ἄδειαν λαβεῖν τούτους, εἰ μὴ τοὺς ὀρφανοὺς καὶ ἀνηλίκους, συγχωροῦμεν. σὺν τούτοις κωλύομεν ἵνα μή τις γεωργὸς ἐνεχυριάσῃ ἀγρόν, οὐ γὰρ γίνεται ἀληθῶς ἐνεχυριασμὸς τοῦ ἀγροῦ, ἀλλὰ διαφθορὰ ἀπέργασται (a) τῆς ζωῆς τοῦ γεωργοῦ ὑπὸ τοῦ ἐνεχυριασμοῦ (1).

16. Οὔτε ὁ δανειστὴς οὔτε ὁ κληρονόμος τοῦ δανειστοῦ δύναται τῷ χρεώστῃ προσενεγκεῖν παραγραφὴν χρόνου μετὰ τὴν καταβολὴν τοῦ χρέους ἕνεκεν τοῦ ἐνεχύρου (b) (2).

(a) *Così il Cod.* (b) *Cod.* χρέους

humanius egerit, non prohibemus; sed insimul usuras, uti dictum est, abiicientes neminem alium eas percipiendi potestatem habere volumus, nisi orphanos et impuberes. Praeterea prohibemus, ne agricola aliquis agrum pignori tradat, non enim reapse agri pignus fit, sed ob pignus agricolae vitae exitium paratur.

16. Neque creditor neque creditoris heres debitori temporis exceptionem opponere potest post debiti exactionem causa pignoris.

(1) Cf. *Epanag* XXVIII, 2. È questo il capitolo al quale il nostro chiaramente si riferisce nel capo 1 di questo titolo. Nel codice Parig. gr. 1384 a c. 144 A-B, in mezzo ad altri svariati frammenti, è riferito, sotto il titolo περὶ δανείου καὶ ἐνεχύρου, questo capo dell'Epanagoge. Pare vi sia riferito testualmente; nelle mie note però trovo solo indicato il principio e la fine, che corrispondono al testo dell'Epanagoge e pare perciò non vi sia alcun rapporto con le modificazioni di forma che si veggono nel nostro Prochiron. « Ἴσμεν ὡς ὑποτεθέντων « ἐνεχύρων - ἀλλ' ἐκείνου τῆς ζωῆς δια- « φθορὰν ἐπεργάζεσθαι ».

(2) Il nostro qui ripete secondo la redazione dell' *Epanag.* XXVIII, 8, ciò che innanzi, al capo 8 di questo titolo, ha già detto seguendo il *Proch. Bas.* XVI, 8.

Τίτλος ιγ'.

Περὶ μισθώσεων.

1. Γενέσθωσαν αἱ μισθώσεις ἐγγράφως καὶ ἀγράφως ἐπὶ ὀνομασμένῳ χρόνῳ καὶ συμφωνουμένῳ τελέσματι καὶ δόματι, ἀλλ' οὐν μὴ διαβαινέ-
c. 23c τωσαν αὗται πλέον ‖ τῶν κθ' [a] χρόνων, εἴτε ἐκ τοῦ μέρους τοῦ δημοσίου ἢ ἐκ βασιλικοῦ οἴκου ἢ εὐαγοῦς τόπου αἱ τοιαῦται μισθώσεις ἐγένοντο· καὶ καθὼς τὸ σύμφωνον ἐγένετο παρὰ τοῦ λαμβανομένου τοῦ δοῦναι τὸ ἐνιαυσιαῖον δόμα, οὕτως ἀπαιτεῖσθαι· μὴ δυνηθεὶς μήτε ὁ δοὺς μήτε ὁ λαβὼν μεταμελεῖσθαι ἐντὸς τοῦ ὀνομασμένου χρόνου [1].

2. Ἐὰν συμφωνηθῇ ὅτι ὁ οἶκος τοῦ μισθωσαμένου, τουτέστι τοῦ

(a) *Il Cod. ha soltanto* $\bar{\kappa}$

Tit. XIII.

De locationibus.

8. Ἐὰν τελευτήσας ὁ ἡμέτερος πατὴρ ἀφῆκεν ἡμῖν ἐπίτροπον τὸν μέλλοντα ἐπισκέψαι τὸ πρᾶγμα ἡμῶν καλῇ πίστει, καὶ διαλύσωμαι μετ' αὐτοῦ περὶ τοῦ ἐμοῦ μέρους, οὐ κωλύομαι ἐνάγειν κατ' αὐτοῦ ἐκ προσώπου τοῦ τελευτήσαντος ἀδελφοῦ μου, ἐὰν κληρονομῶ αὐτόν (1).

9. Ἐὰν διαλυθῇ τις περὶ τῶν ἀναγκαίων πραγμάτων πρὸς τὴν ζωὴν καὶ χρεωστουμένων διδόναι, οὐ δοκεῖ διαλύεσθαι περὶ κατοικίας καὶ ἱματισμοῦ, εἰ μὴ ῥητῶς εἴπῃ τοῦτο (2).

10. Ἐάν τις διαλυθῇ ὡς ὁ νόμος προστάσσει καὶ ὁμολογεῖ ποινὴν διὰ τὴν παράβασιν τῆς διαλύσεως διὰ τὸ ἐῤῥῶσθαι τὴν διάλυσιν, ἀπαιτεῖται ἡ ποινὴ ἐκείνη καλῶς (3).

c. 29 b 11. Οὐχ ὑπάρχει ἐῤῥωμένη ἡ διάλυσις ἡ γενομένη κατὰ φό‖βον· οὔτε φόβος οἱοσδήποτε δύναται ἀνατρέψαι καὶ καταλύσαι τὴν διάλυσιν, ἀλλὰ τοιοῦτος μέλλει ὑπάρχειν ὁ φόβος ὁ ἀνατρέπων τὴν διάλυσιν ὁ ἐπιφέρων κίνδυνον περὶ τὴν σωτηρίαν αὐτοῦ, καὶ (a) ὁ ἐπιφέρων βασάνους κατὰ τοῦ σώματος (4).

(a) *Il Cod. aggiunge* οὐχὶ

8. Si pater noster obiens nobis tutorem, qui res nostras bona fide administret, reliquerit et cum eo de portione mea transegerim, adversus eum ex persona defuncti fratris mei, cui heres exstiterim, agens non summoveor.

9. Si quis de rebus vitae necessariis et debitis transegerit, non videbitur de habitatione et vestiario, ni specialiter dixerit, transegisse.

10. Si quis iuxta legem transegerit et poenam, si contra placitum fecerit, ad transactionem firmandam promiserit, recte poena illa expetitur.

11. Rata non habetur transactio ob metum facta: non quilibet autem metus transactionem rescindere et solvere potest, sed metus transactionem rescindens talis esse debet, qui salutis periculum et corporis cruciatus afferat.

« διαλυόμενος – οὐκ ἀποκλείεται δὲ τῶν ἐν « κωδικέλλοις αὐτῷ καταλειφθέντων καὶ « ὕστερον προενεχθέντων ».

(1) *Epanag.* XXVII, 5: « Ἐὰν διαλύσωμαι πρὸς τούς ποτε ἐπιτρόπους μου « περὶ τοῦ ἐμοῦ μέρους, οὐ κωλύομαι κινεῖν αὐτοῖς ἐκ προσώπου τοῦ ἀδελφοῦ « μου κληρονομῶν αὐτόν ». Si osservi come il nostro spieghi ed amplifichi il caso fatto in questo capitolo.

(2) Cf. *Epanag.* XXVII, 6.

(3) *Epanag.* XXVII, 7: « Ὁ νομίμως διαλυόμενος καὶ ποινὴν ἐκ παραβάσεως πρὸς τὸ ἐῤῥῶσθαι τὴν διάλυσιν ὁμολογῶν, ἀπαιτεῖται ».

(4) *Epanag.* XXVII, 9: « Ἡ μὲν

12. Ἐὰν εἴπῃ τις, ὅτι διελυσάμην οὐ κατὰ δόλον τοῦ ἀντιδίκου μου ἀλλὰ κατὰ δόλον ἐμὸν καὶ διὰ τοῦτο θέλω ἀνατρέψαι τὴν διάλυσιν, δεῖ ταύτην τὴν δικαιολογίαν οὐ μόνον ἀδίκως ἀλλὰ καὶ ἐπικινδύνως ἵνα δέξοισθε [a], ὡς ὁ ὁμολογῶν ἑαυτὸν πεποιηκέναι τὸν δόλον [1].

13. Ἐὰν διαλυθῇ τις περὶ φανεροῦ πράγματος καὶ εἴπῃ [b] μηδὲν πλέον ἀπαιτεῖν αὐτὸν τῶν συναρεσθέντων, ἀκωλύτως ἐνάγει περὶ ἑτέρων πραγμάτων [2].

14. Ὁ ἔχων τὸν λογισμὸν αὐτοῦ ἐῤῥωμένον καὶ τὸ σῶμα αὐτοῦ ἔχων ἀσθενές, καλῶς διαλύεται, καὶ οὐ δύναται μετὰ ταῦτα ἀνατρέπειν τὴν ‖ διάλυσιν, προφασιζόμενος τὴν ἀσθένειαν τοῦ σώματος [3]. c. 30 A

15. Δύναταί τις ἄνθρωπος διαλύεσθαι καὶ περὶ πάντων τῶν πραγμάτων ὧν ἔχει μετὰ τοῦ ἀντιδίκου, καὶ περὶ μόνου ἑνὸς πράγματος [4].

(a) *Così il Cod. Ma cf. Epanag. XXVII, 8.* (b) *Cod.* εἴπει

12. Si quis dixerit: non ob adversarii dolum, sed ob dolum meum transegi et propterea transactionem rescindere volo, oportet huiusmodi defensionem non solum iniuste sed et periculose...., veluti qui se dolum fecisse fatetur.

13. Si quis de re certa transegerit et nihil amplius de conventis se petiturum dixerit, impune de aliis rebus agit.

14. Qui mentem habet sanam et corpus aegrum, recte transigit, nec postea, corporis infirmitatem allegans, transactionem rescindere potest.

15. Et de omnibus causis, quas aliquis cum adversario habet, et de una tantum transigi potest.

« κατὰ φόβον γενομένη διάλυσις οὐκ ἐῤ- « ῥωται » &c.

(1) *Epanag.* XXVII, 8: « Ὁ λέγων « ὅτι ..., οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἐπι- « κινδύνως τὴν τοιαύτην δικαιολογίαν « προΐσχεται » &c.

(2) *Epanag.* XXVII, 10. Cf. il capitolo 4 di questo titolo del nostro e *Proch. Bas.* XX, 4.

(3) *Epanag.* XXVII, 11: « Ὁ τὸν « λογισμὸν ἐῤῥωμένος κἂν τῷ σώματι « ἀσθενῇ, βεβαίως διαλύεται καὶ οὐ δύ- « ναται προτεινόμενος τὴν τοῦ σώματος « ἀσθένειαν ἀνατρέπειν τὴν διάλυσιν ». Si osservi la dizione diversa.

(4) *Epanag.* XXVII, 12: « Δυνατὸν « καὶ περὶ πάντων καὶ περί τινων, του- « τέστι καθόλου καὶ μερικῶς, διαλύεσθαι ».

16. Ἐὰν διαλυθῇ ὁ πατὴρ περὶ πράγματος τοῦ ἁρμόζοντος τῷ αὐτεξουσίῳ αὐτοῦ υἱῷ, οὐκ ἐνέχεται ὁ παῖς ὑπὸ ταύτης τῆς διαλύσεως (1).

17. Οὐ μόνον χωρὶς δόσεως γίνεται διάλυσις, ἀλλὰ καὶ μετὰ δόσεως παρεχούσης εἰρήνην καὶ ἀνενοχλησίαν καὶ βίον ἀνεμπόδιστον (2).

18. Ἐὰν καταδικασθῇ ὁ ἐγγυητής (a), καὶ ὁ κύριος τῶν πραγμάτων διαλύσηται, καὶ ἀμφότεροι ἐλευθεροῦνται· καὶ εἰ μὲν αὐτὸς ὁ ἐγγυητὴς διαλυθῇ μετὰ τὴν δίκην, ἐὰν ἔδωκέ τι πρᾶγμα περὶ τῆς διαλύσεως, οὐ λογίζεται πρὸς τὴν διάλυσιν, ἀλλ' ἐξετάζεται τοῦτο τὸ πρᾶγμα καὶ λεπτύνεται παρὰ τοῦ δικαστοῦ (3).

(a) *Cod.* ἐγγιητής

16. Si pater de re filii, quem in potestate non habuit, transegerit, hac transactione filius non tenetur.

17. Non solum absque datione transactio fit, sed et cum datione, quae pacem, tranquillitatem vitamque securam afferat.

18. Si fideiussor condemnatus sit et rerum dominus transigat, uterque liberatur; sin autem fideiussor ipse post litem transigat, quod in transactionem dat, transactioni non imputatur, sed hoc a iudice examinatur et deducitur.

(1) *Epanag.* XXVII, 13: « Ἡ παρὰ « τοῦ πατρὸς γενομένη διάλυσις ἐπὶ πρά- « γματι τοῦ αὐτεξουσίου παιδὸς οὐκ ἀντι- « κεῖται τῷ παιδί ». Si noti come il nostro esprima in forma concreta le ipotesi astratte dei testi che ha davanti.

(2) *Epanag.* XXVII, 14. Qui manca no le ultime parole del nostro: « καὶ « βίον ἀνεμπόδιστον ».

(3) *Epanag.* XXVII, 15: « Ἐὰν τοῦ « ἐγγυητοῦ καταδικασθέντος ὁ κυριοπρά- « γμων διαλύσηται, ἑκάτερος ἐλευθεροῦ- « ται. εἰ δὲ αὐτὸς ὁ ἐγγυητὴς μετὰ κα- « ταδίκην διαλύσηται, τὸ μὲν δοθὲν οὐ « συμβάλλεται πρὸς διάλυσιν » &c.

Τίτλος ιζ.

Περὶ διαθήκης αὐτεξουσίων.

1. Τί ἐστι διαθήκη; διαθήκη ἐστὶ || τὸ δίκαιον θέλημα τοῦ διατιθε- c. 30 B
μένου τῶν πραγμάτων ἐκείνων, ἅτινα θέλει ἵνα γένωνται μετὰ τὸν θάνατον αὐτοῦ (1).

2. Ὁ ποιῶν τὴν διαθήκην μέλλει ἔχειν τὸν νοῦν ἐῤῥωμένον καὶ δυνατόν, οὐχὶ τὸ σῶμα αὐτοῦ. εἰ γὰρ ἀσθενὲς ὑπάρχει τὸ σῶμα αὐτοῦ, καὶ ὁ νοῦς αὐτοῦ ἐῤῥωμένος καὶ ὑγιής, ἡ διαθήκη αὐτοῦ σταθηρὰ ὑπάρχει, ἐὰν κατὰ νόμον ἐγένετο (2).

3. Ἐὰν ὁ ἄῤῥην πληρώσῃ τὰ ιδ, ἀκωλύτως δύναται ποιῆσαι διαθήκην· ἡ δὲ θήλεια, τουτέστιν ἡ γυνή, ἐὰν πληρώσῃ τὰ ιβ ἔτη, καὶ αὐτὴ καλῶς διατίθεται (3).

4. Πᾶσαι αἱ διαθῆκαι αἱ κατὰ νόμον γινόμεναι ἐκ τριῶν νόμων ἔχουσι τὴν σύστασιν καὶ τὴν δύναμιν· τὸ μὲν πρῶτον ἀπὸ τοῦ πολιτικοῦ

Titulus XVII.

De testamento hominum sui iuris.

1. Quid est testamentum? Testamentum est iusta testatoris sententia de iis, quae post mortem suam fieri velit.

2. Qui testatur mentem integram sanamque habere debet, non corpus. Si enim corpus eius infirmum sit, mens autem sana et integra, testamentum secundum legem factum firmum est.

3. Si masculus .XIV. annos expleverit, testamentum condere potest; foemina autem, h. e. mulier, si .XII. annos expleverit, et ipsa recte testatur.

4. Testamenta omnia secundum legem facta ex ternis iuribus formam et robur accipiunt: et primo quidem ex iure civili, h. e.

(1) *Proch. Bas.* XXI, 1: « Διαθήκη « ἐστὶ δικαία βούλησις ὧν τις θέλει μετὰ « θάνατον αὐτοῦ γενέσθαι ».

(2) *Proch. Bas.* XXI, 2: « Ὁ διατι- « θέμενος ὀφείλει τὸν νοῦν οὐ μὴν τὸ σῶμα « ἐῤῥῶσθαι ».

(3) *Proch. Bas.* XXI, 3: « Ὁ ἄῤῥην « πληρώσας τὰ ιδ ἔτη διατίθεται, ἡ δὲ « θήλεια τὰ ιβ ».

νόμου, τουτέστιν ἀπὸ τοῦ νόμου ὃν φυλάσσει ἡ πόλις ἐν ᾗ κατοικεῖ ὁ
c. 30 c τὴν διαθήκην ποιῶν· τὸ δὲ δεύτερον ἀπὸ τῶν διατάξεων· τὸ δὲ ‖ τρίτον
ἀπὸ τοῦ νόμου τοῦ πραίτωρος (1). καὶ ἀπὸ μὲν τοῦ πολιτικοῦ νόμου
ἔχουσιν αἱ διαθῆκαι τὸ συνάπτον παρόντων (a) τῶν μαρτύρων ἐν μιᾷ ὑφῇ
πληροῦσθαι τὴν διαθήκην· ἀπὸ δὲ τῶν διατάξεων ὑπάρχουσι ταῖς διαθήκαις αἱ ὑπογραφαὶ τῶν διατιθεμένων καὶ τῶν μαρτύρων· ἀπὸ δὲ τοῦ νόμου τοῦ πραίτωρος αἱ σφραγῖδες εἰσὶ ταῖς διαθήκαις, καὶ ὁ ἀριθμὸς τῶν μαρτύρων (2). πᾶσα δὲ ἡ τοιαύτη παραφυλακὴ τῶν διατυπώσεων οὐ δι' ἄλλο τι ἐπενοήθη, εἰ μὴ ἵνα αἱ διαθῆκαι γένωνται χωρὶς πάσης κακουργίας καὶ πονηρίας καὶ ἵνα ἔσωνται καθαραὶ παντὸς δόλου (3)· ὥστε δεῖ τὸν διατιθέμενον οἰκείᾳ χειρὶ γράφειν καὶ δηλῶσαι τὸ ὄνομα τοῦ κληρονόμου αὐτοῦ, οὕτω λέγοντα· ὅτι τοῦτον κατέστησα κληρονόμον
c. 30 D τῶν ἐμῶν πραγμάτων. εἰ δὲ ὁ διατιθέμενος οὐ ποι‖ήσει τοῦτο ἢ οὐ

(a) *Cod.* παράυτῶν *Forse invece di* συνάπτον, *se pur non è una glossa, e da leggere* συναπτῶς, *come nel* Proch. Bas. XXI, 4; *o forse anche è da supplire:* τὸ συνάπτον τουτέστι τὸ παρόντων κτέ.

ex lege, quam urbs, in qua testator habitat, custodit; secundo autem ex constitutionibus; tertio demum ex iure praetorio. Ex civili enim iure testamenta coniunctionem deducunt, (ut) praesentibus testibus uno contextu testamentum absolvatur; a constitutionibus autem testamentis subscriptiones testatorum et testium descendunt; ex iure demum praetorio testamenta sigilla et testium numerum habent. Haec vero omnis testamentorum observatio ob nihil aliud inventa, nisi ut testamenta absque omni malitia et pravitate fiant et omni dolo careant; praeterea oportet ut testator propria manu heredis sui nomen scribat et exprimat, ita dicens: « hunc rerum mearum heredem institui ». Quod si testator hoc

(1) *Proch. Bas.* XXI, 4: « Αἱ διαθῆκαι καὶ ἐκ τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ καὶ τῶν διατάξεων καὶ τοῦ πραίτωρος ». Oltre le differenze di forma, si noti nel nostro la spiegazione del « πολιτικοῦ νόμου ».

(2) Loc. cit. « ἐκ μὲν γὰρ τοῦ πολιτικοῦ κατάγεται τὸ παρόντων τῶν μαρτύρων μιᾷ ὑφῇ συναπτῶς τὴν διαθήκην πληροῦσθαι » &c.

(3) Loc. cit.: « πᾶσα δὲ ἡ τοιαύτη παραφυλακὴ διὰ τὸ κακουργίας πάσης ἀπηλλάχθαι τὴν τῶν διαθηκῶν ποίησιν καὶ παντὸς αὐτὰς καθαριεύειν δόλου προστέθειται ». Si osservi come il nostro volgarizza questo passo, togliendo ciò che poteva esservi di astratto e difficile nella espressione.

δυνηθῇ, ἀνάγκη ὑπάρχει ὅπως οἱ μάρτυρες εἴπωσι τὸ ὄνομα τοῦ κληρονόμου (1).

5. Ἐπειδὴ εἴρηται, ὡς ὅτι δεῖ τοὺς μάρτυρας ἐπιβαλεῖν εἰς τὰς διαθήκας τὰς οἰκείας σφραγῖδας, ἀνάγκη σοι ὑπάρχει εἰδέναι, ὡς ὅτι οἱ μάρτυρες δύνανται σφραγίζειν τὴν διαθήκην καὶ ἑνὶ μόνῳ δακτυλίῳ (2). ἀλλὰ καὶ ἐν νυκτὶ σφραγίζεται ἡ διαθήκη καὶ ὑπογράφεται παρὰ τῶν μαρτύρων (3).

6. Καὶ ἐκεῖνος ὅστις γράφει τὴν διαθήκην, καλῶς μαρτυρεῖ ἐν αὐτῇ (4).

7. Οὐ δύναται ποιῆσαι διαθήκην ὁ παραφρονήσας διὰ τὴν ἀῤῥωστίαν (a) τοῦ σώματος αὐτοῦ, ἐν τῇ παραφροσύνῃ ὑπάρχων· ἐν δὲ τοῖς διαλείμμασι, τουτέστιν ὅταν καταλειμπάνῃ (b) αὐτὸν ἡ παραφροσύνη, καλῶς διατίθεται (5).

8. Ὁ τυφλὸς εἴτε ἐκ γεννητῆς εἴτε ἀπὸ νόσου δύναται ποιῆσαι

(a) *Cod.* ἀρρωστεῖαν *cioè con* ε *espunto.* (b) *Così il Cod.*

non fecerit, vel facere non potuit, necesse est ut testes heredis nomen dicant.

5. Quum dictum sit, testibus sigilla sua in testamentis esse apponenda, oportet ut scias, testes et uno eodemque annulo testamentum obsignare posse. Et noctu testamentum a testibus obsignatur et subscribitur.

6. Et qui testamentum conscribit, recte in eodem testis est.

7. Testamentum condere nequit qui ob adversam corporis valetudinem furit, dum furore agitatur; in lucidis autem intervallis, h. e. cum furor eum relinquat, recte testatur.

8. Coecus sive a partu sive a morbo sine scriptis testamentum

(1) Il *Proch. Bas.* loc. cit. dice: « τοῦτο δὲ αὐτοῦ μὴ ποιήσαντος, ἀνάγκη « τοῖς μάρτυσι λέγεσθαι τὸ τοῦ κληρο- « νόμου ὄνομα ». Il nostro non capì il suo testo, che riferivasi ad una forma di testamento ai suoi tempi non più in uso.

(2) Cf. *Proch. Bas.* XXI, 5.

(3) Cf. *Proch. Bas.* XXI, 6.

(4) Cf. *Proch. Bas.* XXI, 7.

(5) *Proch. Bas.* XXI, 8: « Ὁ ἐν « ἀσθενείᾳ σώματος παραφρονήσας οὐ δια- « τίθεται ἐν τῇ παραφροσύνῃ, ἐν τοῖς « διαλείμμασι δέ ».

ἄγραφον διαθήκην, ἐὰν καλῇ ζ' ἢ ε' μάρτυρας καὶ λέγῃ [a] τὸν κληρο-
c. 31 A νόμον αὐτοῦ ‖ μετὰ σημείων διὰ τὸ μὴ πλανηθῆναι [1].

9. Ἐὰν ὑπεξούσιός τις, ἢ ἄνηβος ἢ δοῦλος, ποιήσῃ διαθήκην, οὐκ ἔῤῥωται ἡ τοιαύτη διαθήκη, κἂν ὁ μὲν αὐτεξούσιος ἀποθάνῃ, ὁ δὲ ἔφηβος, ὁ δὲ ἐλεύθερος [b] [2].

10. Ἐὰν ἀδελφοὶ ἔχωσι κοινὰ πράγματα, καὶ θελήσει εἷς ἐξ αὐτῶν ποιῆσαι διαθήκην, ἀκωλύτως διατίθεται εἰς ἃ βούλεται, οὐ δὲ ἐμποδίζεται διότι τὰ πράγματα ἔχουσιν ἔτι ἀδιαίρετα [3].

11. Ἐάν τις γινώσκῃ γράμματα καὶ μεταξὺ τῶν παίδων αὐτοῦ θελήσει ποιῆσαι διατύπωσιν, πρῶτον μὲν μέλλει οἰκείᾳ χειρὶ διαγράφειν τὸν χρόνον, μετὰ ταῦτα δὲ τὰ ὀνόματα τῶν παίδων αὐτοῦ, καὶ σὺν τούτοις τοὺς οὐγκιασμούς [c], εἰς οὓς γράφει τοὺς κληρονόμους αὐτοῦ, μὴ σημαινομένους ἐν τοῖς συμβόλοις τῶν ἀριθμῶν, ἀλλὰ καὶ δηλουμένους [d] δι' ὅλων τῶν γραμμάτων, δι' ὧν μέλλουσι φανερῶς καθεστάναι καὶ χωρὶς
c. 31 B ἀμφιβολίας τινός [4]. ‖ εἰ δὲ καὶ θελήσει ὁ πατὴρ ποιῆσαι διαίρεσιν καὶ

(a) *Cod.* λέγει (b) *Forse è da espungere* ὁ μὲν *e da correggere* ὁ μὲν ἔφηβος *per* ὁ δὲ ἔφηβος (c) *Cod.* οὐγιασμένους (d) *Cod.* διλουμένους

facere potest, si .VII. aut .V. testes convocet, et heredem suum nuncupet cum indiciis, ne erretur.

9. Si filiusfamilias, aut impubes aut servus, testamentum fecerit, non valet, etsi ille sui iuris effectus, hic pubes, iste liber moriatur.

10. Si fratres bona communia habeant et unus eorum testari velit, de iis quae velit testari non prohibetur nec impeditur eo, quod bona habent communia.

11. Si quis litteras cognoscens inter liberos suos dispositionem facere velit, primo quidem manu propria tempus denotet, deinde liberorum nomina et unciarum partes, in quibus heredes suos scribit, non signis numerorum significandas, sed totis litteris expressas, per quas aperte et absque dubietate consistere debent. Quod si pater et rerum distinctionem divisionemque facere velit,

(1) *Proch. Bas.* XXI, 9: « Ἄδειαν « ἰχέτω ὁ τυφλὸς » &c.

(2) *Proch. Bas.* XXI, 10: « Ἐὰν « διατίθεται ὑπεξούσιος » &c.

(3) *Proch. Bas.* XXI, 11: « Εἰ καὶ « κοινὰ ἔχουσι τὰ πράγματα οἱ ἀδελφοί, « ὅμως οὐδεὶς αὐτῶν κωλύεται διατιθέ- « ναι » &c.

(4) *Proch. Bas.* XXI, 12: « Εἴ τις « γράμματα ἐπιστάμενος — ὥστε παντα-

διαμέρισιν τῶν πραγμάτων, ἢ ἔν τισι πράγμασι ῥητῶς καὶ ὀνομαστικῶς [a], ἢ ἐν πᾶσι τοῖς πράγμασιν, ἢ περιστῆσαι τινὰς τῶν ἐνστάσεων, κελεύομεν ἵνα γράψῃ τὰ γνωρίσματα αὐτῶν, ὥστε τοῖς αὐτοῖς γράμμασι δηλούμενα [b] καὶ φανερούμενα πάντα μηδεμίαν φιλονεικίαν ἔτι ἀφήσῃ εἰς τοὺς ἰδίους παῖδας [1]. καὶ εἰ μὲν τῇ γαμετῇ [c] αὐτοῦ θελήσει καταλιπεῖν λιγάτα, ἢ ἐξωτικοῖς ἄλλοις προσώποις, ἢ φιδεκομίσσα, ἢ ἐλευθερίας τῶν δούλων αὐτοῦ, καὶ ταῦτα οἰκείᾳ γραφῇ γραφόμενα [2] καὶ λεγόμενα παρὰ τῶν διατιθεμένων ἐπὶ τῶν μαρτύρων, ὡς ἅπαντα τὰ ἔμπροσθεν κείμενα ἐν τῇ διατυπώσει αὐτῇ [d] καὶ ἔγραψαν [e] καὶ θέλουσι κρατεῖν, ὑπαρχέτωσαν ἰσχυρά, μηδαμῶς ἐλαττούμενα ἀπὸ δὲ τοῦ δοκεῖν καὶ ὑπολαμβάνειν τὴν ἄλλην παρατήρησιν τῶν διαθηκῶν ‖ γεγράφθαι ἐν τῷ χάρτῃ μὴ δεξώμεθα [f], ἀλλὰ τοῦτο μόνον οἰκονομείσθω, ἵνα ἡ δεξιὰ τοῦ διατιθεμένου καὶ ἡ γλῶσσα παρέξῃ πᾶσαν τὴν ἰσχὺν τῷ χάρτῃ [3]. οὐδεὶς ὕστερον ἐντάξει [g] μαρτυρίας, ὡς βουληθεὶς τυχὸν ἀμεῖψαι καὶ c. 31 c

(a) *Cod.* ὠνομαστικῶς (b) *Cod.* διλούμενα (c) *Cod.* ἀδελφῇ (d) *Così il Cod.; forse* αὐτοί? (e) *Le lettere* γραψαν *sembrano in rasura.* (f) δὲ - δεξώμεθα] *luogo evidentemente corrotto. Il confronto col Proch. Bas. XXI, 12 consiglierebbe a espungere il* δὲ, *a trasportare le parole* τὴν ἄλλην παρατήρησιν τῶν διαθηκῶν *dopo* ἐν τῷ χάρτῃ, *e a correggere* μὴ δεξάμενα *per* μὴ δεξώμεθα (g) *Così il Cod. Il Proch. Bas. loc. cit. reca* παράξει

aut in quibusdam nominatis et expressis rebus, aut in omnibus, aut quasdam institutiones statuere, harum quoque signa adscribi iubemus, ut omnia litteris ipsis declarata et expressa nullam ulterius liberis contentionem relinquant. Et si uxori suae aut aliis extraneis personis legata vel fideicommissa vel servorum libertates relinquere velit, et haec propria scriptura a testatoribus scripta et coram testibus dicta, quod omnia in ipsa dispositione posita et scripserint et valere velint, firma sunto, nulloque modo infirmentur eo, quod in charta videantur et existimentur scripta nec aliam testamentorum observationem habeant (?), sed hoc solum statuatur, testatoris dexteram et linguam chartae omnem vim tribuisse. Nemo

« χόθεν σαφεῖς τε καὶ ἀναμφισβήτους « καθεστάναι ».

(1) Loc. cit.: « εἰ δὲ καὶ πραγμάτων « βούλοιτο ποιήσασθαι διαίρεσιν, ἢ τισι « πράγμασι ῥητοῖς, ἢ πάσας ἢ τινας τῶν « ἐνστάσεων περιστῆσαι, καὶ τὰ τούτων « ἐγγραφέτω γνωρίσματα, ὥστε τοῖς αὐ- « τοῖς γράμμασι πάντα δηλούμενα μηδε- « μίαν ἔτι φιλονεικίαν τοῖς παισὶ κατα- « λιμπάνειν ».

(2) Loc. cit.: « οἰκείᾳ γραφόμενα χειρί ».

(3) Loc. cit.: « ὡς ἅπαντα ἐφεξῆς

ἀλλάξαι τὸ τοιοῦτον θέλημα, ἢ τοιοῦτον [a] ποιῆσαι, ὡς δυνατὸν ἔχειν διαῤῥῆξαι τὸ γινόμενον καὶ ποιῆσαι ἄλλην βούλησιν δηλοῦσαν τὴν τελευταίαν γνώμην ἣν μέλλει κρατεῖν [1]· εἰ γὰρ ἐπιθυμοῦσι [b] τοῦτο ποιῆσαι, δεῖ τοῦτο πράττειν ἐπὶ παρουσίᾳ ζ' ἢ ε' μαρτύρων, οὕτω λέγων· ὡς οὐχὶ βούλομαι τὴν πρώτην γνώμην μου κρατεῖν, ἀλλα θέλω ἑτέραν ποιῆσαι [2]. καὶ ταῦτα μὲν γενέσθωσαν ἢ ἐν τῇ τελείᾳ καὶ πληρεστάτῃ διαθήκῃ, τῇ ἐχούσῃ [c] πάντα τὰ σημεῖα [d] τῶν νομίμων διαθηκῶν, ἢ ἐγγράφῳ τελείᾳ βουλήσει, ἢ ἀγράφῳ θελήματι τοῦ διατιθεμένου, ἐν τῷ
c. 31 D δοκεῖν αὐτὸν τελευτῆσαι, τῶν προτέρων θελημάτων αὐτοῦ ἀκύρων καὶ χωρὶς ἐνεργίας γινωμένων ὑπὸ τῆς δευτέρας διαθήκης αὐτοῦ τῆς κατὰ νόμον γινομένης [3].

(a) *Cod.* τιοῦτον (b) *Così il Cod. Forse* ἐπιθυμεῖ ? (c) *Cod.* ἐχούσι (d) *Cod.* σιμεία

postea testimonia producat, voluisse forte (eum) voluntatem illam mutare aut convertere aut tale quid facere; quippe cui licebat quod actum erat rumpere et testamentum aliud condere, ultimam eius voluntatem declarans, quam valere vult. Quod si hoc facere cupit, oportet ut hoc, .VII. aut .V. testibus praesentibus, faciat, ita dicens: « priorem voluntatem meam amplius valere nolo, sed aliam edere volo ». Et haec vel in perfecto et finito testamento fiant, quod omnes legitimorum testamentorum notas habeat, vel in scripta extrema voluntate, vel in non scripta testatoris voluntate, ita ut mori videatur, prioribus ipsius testamentis irritis et infirmis factis ex altero iuxta legem condito testamento.

« τὰ ἐν τῇ διατυπώσει κείμενα αὐτοὶ καὶ « ἔγραψαν καὶ βούλονται κρατεῖν, ἔστω « ἰσχυρά, μηδὲν ἐλαττούμενα ἐκ τοῦ δο- « κεῖν ἐν χάρτῃ γεγράφθαι τὴν λοιπὴν « παρατήρησιν τῶν διαθηκῶν μὴ δεξά- « μενα· ἀλλὰ τοῦτο μόνον διαταττέτω τὸ « τὴν αὐτοῦ δεξιάν τε καὶ γλῶσσαν ἔχειν « τὴν πᾶσαν ἰσχὺν τῷ χάρτῃ παρεχο- « μένην ».

(1) Loc. cit.: « καὶ εἴπερ μέχρι « τελευτῆς μείνοι τούτῳ τῷ σχή- « ματι, οὐδεὶς ὕστερον παράξει μαρ- « τυρίας » &c.

(2) Loc. cit.: « τοῦτο γὰρ ἐφίεμεν « αὐτῷ πράττειν αὐτὸ τοῦτο ῥητῶς ἐπι- « σημαινομένῳ ἐπὶ παρουσίᾳ μαρτύρων ζ' « ἢ καὶ ε', ὡς πεποίηται τὴν τοιαύτην « βούλησιν, οὐ μὴν κρατεῖν αὐτὴν ἔτι « βούλεται, ἀλλ' ἑτέραν ποιήσασθαι ».

(3) Loc. cit.: « καὶ ταῦτα ἢ ἐν τελείᾳ « διαθήκῃ ποιείτω πάντα τὰ τῶν διαθη- « κῶν ἐχούσῃ σύμβολα » &c.

12. Ἀνατρέπεται ἡ προγεναμένη διαθήκη παρὰ τῆς μεταγενεστέρας, ἐὰν ὑπάρχῃ (a) ἡ δευτέρα τελεία (1), εἰ καὶ τάχα ἡ πρώτη ἐστὶν ἔγγραφος.

13. Ἐὰν φανερῶς ἀποδειχθῇ, ὅτι ὁ διατιθέμενος ἤθελε πλείονας κληρονόμους εἰπεῖν παρ' ὃ εἶπεν καὶ ἐκωλύθη παρά τινων, οὐδὲ ἐκεῖνοι κληρονομοῦσιν αὐτὸν οἵτινες κατελείφθησαν παρ' αὐτοῦ κληρονόμοι (2).

14. Ἐὰν ἀληθῶς ὁ διατιθέμενος μὴ θελήσῃ γνῶναι τὰ γεγραμμένα τοὺς μάρτυρας, ἐλιχθεῖσαν (b) τὴν διατύπωσιν ἕως τῶν γεγραμμένων ἢ σφραγισθεῖσαν ὑπ' αὐτοῦ (c) προσφερέτω τοῖς μάρτυσιν, ἵνα ὑπογράψωσι, καὶ λεγέτω αὐτοῖς οἰκείαν ὑπάρχειν τὴν διαθήκην· ἀλλὰ πρέπει ἵνα ὑπογράψωσιν εἰς ἕνα καιρὸν καὶ σφραγίσωσιν αὐτὴν, καὶ κρατήσωσιν ἰσχυρῶς. c. 32 A

15. Οὐ μόνον δὲ μάρτυρας ἑπτὰ ἔχειν κελεύομεν τὴν διαθήκην, ἀλλὰ καὶ ἐὰν πέντε (d) ὑπάρχωσιν ἐν τῇ ἐγγράφῳ καὶ ἀγράφῳ διαθήκῃ, βεβαία αὕτη ὑπαρχέτω (3).

(a) *Cod.* ὑπάρχεῖ (b) *Cod.* ἠλεχθεῖσαν (c) *Cod.* αὐτῶν (d) *Mancano nel Cod. le parole* ἑπτὰ *e* πέντε

12. Prius testamentum posteriori rumpitur, si secundum perfectum sit, licet prius in scriptis conditum.

13. Si aperte demonstretur testatorem plures heredes nuncupare voluisse, et unum nuncupasse (?), alios nuncupare non potuisse, nec illi, qui ab eo heredes relicti sunt, ei succedunt.

14. Si vero testator quae scripsit testes scire noluerit, testamentum ad scripturam usque involutum aut ab eo obsignatum testibus exhibeat, ut subscribant, ipsisque proprium illud esse testamentum dicat. Oportet autem ut uno tempore illud subscribant et obsignent, et valide rata sint.

15. Non solum .VII. testes testamentum habere iubemus, sed et si .v. in scripto aut non scripto testamento sint, firmum esto.

(1) *Proch. Bas.* XXI, 13: « ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας « οὔσης » &c.

(2) *Proch. Bas.* XXI, 14: « Ἐὰν ἀποδειχθῇ βουληθέντα τὸν διατιθέμενον « πλείονας εἰπεῖν κληρονόμους φιμωθῆναι, οὐδὲ οἱ παρ' αὐτοῦ λεχθέντες κληρονομοῦσιν ».

(3) *Proch. Bas.* XXI, 15: « Ἐὰν μέντοιγε ὁ διατιθέμενος μὴ βούληται » &c. Questo unisce in un solo i due capitoli del nostro.

16. Ὁ μὲν πληγεὶς ἐν πολέμῳ καὶ περιπατῶν ἐν ὁδῷ καὶ ἐγγίσας ἐπὶ τὸν θάνατον, ὁ τοιοῦτος οὐ μόνον ἐπὶ τριῶν μαρτύρων δύναται ποιῆσαι διαθήκην, ἀλλὰ καὶ β' μόνα εὑρισκόμενα πρόσωπα, διὰ τὴν ἀνάγκην ἣν ἔχει, δύνανται, οἱ δύο μάρτυρες, βεβαίαν ποιῆσαι τὴν ἐκείνου διαθήκην (1).

Τίτλος ιη.

Περὶ διαθήκης ὑπεξουσίων.

1. Τῶν πεκουλίων ἄλλο μὲν ὑπάρχει κανστρένσιον, ἄλλο δὲ παγανικόν. τὸ δὲ πεκούλιον οὐχ ἁρμόζει εἰ μὴ (a) ἐν τοῖς ὑπεξουσίοις. καὶ τὸ μὲν κανστρένσιον πεκούλιον ὑπάρχει, ὅπερ κέκτηται καὶ εἰσοδιάζει
c. 32 B ἐξ ἰδίου ἐπιτηδεύματος ἢ ἀπὸ στρατείας ἢ ἀπὸ βαθμοῦ τοῦ ‖ οἱουδήποτε ἢ ἀπὸ δοθέντος κλήρου, ἢ ἀπὸ κληρονομίας δοθείσης αὐτῷ (b) (2).

(a) *Cod.* μὶ (b) *Le parole* ἢ ἀπὸ κληρονομίας – αὐτῷ *sono da espungere come glossa a quelle che precedono.*

16. In bello vulneratus et in via deambulans et mori periclitans non solum coram tribus testibus testamentum facere potest, sed et .II. tantum personae, quae forte inveniantur, propter quam habet necessitatem possunt, hi duo testes, testamentum eius validum reddere.

Titulus XVIII.

De testamento hominum alieni iuris.

1. Peculiorum alterum quidem castrense, alterum vero paganum est. Peculium autem non nisi ad eos qui in potestate sunt pertinet. Et castrense quidem peculium est, quod (quis) ex professione aut militia sua aut quocumque gradu aut hereditate sibi relicta acquirit et lucratur.

(1) *Proch. Bas.* XXI, 16: « Ὁ μέν- « τοιγε ἐν πολέμῳ πληγεὶς – καὶ δύο μόνα « πρόσωπα διὰ τὴν συμβᾶσαν περίστασιν « δύνανται τὴν ἐκείνου διαθήκην βεβαίαν « παριστάναι ». Cf. il nostro *Proch.* VI, 9 c l'*Ecl. Isaur.* V, 8.

(2) *Proch. Bas.* XXII, 1: « Τὸ πεκού- « λιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται. ὅθεν « τῶν πεκουλίων τὰ μέν ἐστιν ἰδιόκτητα, τὰ « δὲ παγανικά. καὶ ἰδιόκτητα μέν ἐστιν, « ὅσα ἰδικῶς τις ἐξ ἰδίου ἐπιτηδεύματος ἢ « στρατείας ἢ βαθμοῦ τοῦ οἱουδήποτε ἢ « κλήρου κέκτηται ». Cf. *Epanag.* XXXI, 1: « τῶν πεκουλίων τὰ μέν ἐστιν κα-

2. Παγανικὸν δὲ πεκούλιόν ἐστι, ὅπερ δίδοται τοῖς παισὶ παρὰ τῶν γονέων διὰ ὑπηρεσίαν χάριν χρείας, ἢ ἐὰν ἐπεκτίσθη τι παρὰ τῶν δοθέντων πραγμάτων (1).

3. Πολλαὶ διαφοραί εἰσι τοῦ παγανικοῦ πεκουλίου καὶ τοῦ ἰδιοκτήτου· καὶ πρώτη μὲν διαφορὰ ὑπάρχει αὕτη, ὅτι ὁ ὑπεξούσιος εἰς μὲν τὸ ἰδιόκτητον πεκούλιον καλῶς διατίθεται, εἰς δὲ τὸ παγανικὸν πεκούλιον οὐ δύναται διατίθεσθαι (2).

4. Δευτέρα δὲ διαφορά ἐστιν αὕτη· ἐὰν ὀργισθῇ ὁ πατὴρ κατὰ τοῦ ὑπεξουσίου, τὸ μὲν παγανικὸν πεκούλιον δύναται ἀφελεῖν παρ' αὐτοῦ, τὸ δὲ ἰδιόκτητον οὐ δύναται (3).

5. Τρίτη δὲ διαφορά ἐστιν αὕτη· ἐὰν ὁ πατὴρ ἢ αὐτὸς ὁ υἱὸς (a) ἔχῃ χρέη (b) πολλά, καὶ γίνεται διάπρασις ὑπὸ τῶν αὐτοῦ δανειστῶν, τὸ μὲν παγανικὸν πεκούλιον τοῦ ‖ παιδὸς πιπράσκεται, τὸ δὲ ἰδιόκτητον c. 32 c
οὐδαμῶς (4).

(a) *Forse sono da rimuovere dal testo le parole* ἢ αὐτὸς ὁ υἱὸς (b) *Cf. IV, 2.*

2. Paganum autem peculium est, quod liberis a parentibus ministerii atque usus causa datur, aut si quid ex datis rebus acquiritur.

3. Multae sunt differentiae inter paganum et castrense peculium: et prima quidem differentia haec est, quod potestati alienae subiectus de castrensi quidem peculio recte testatur, de pagano vero peculio testari non potest.

4. Secunda differentia haec est: si pater filio irascitur, paganum quidem peculium ei adimere potest, castrense autem vel quasi non potest.

5. Tertia autem differentia haec est: si pater aut filius ipse sit aere alieno gravatus et venditio a creditoribus ipsius fiat, paganum quidem filii peculium venditur, castrense autem vel quasi minime.

« στρίσια ἤτοι ἰδιόκτητα, τὰ δὲ πα- « γανικά. καὶ καστρίσιον πεκούλιόν « ἐστιν ἤτοι ἰδιόκτητον » &c.

(1) *Proch. Bas.* loc. cit.: « παγανικὰ « δέ, ἅπερ παρὰ τῶν γονέων αὐτοῖς ὑπηρε- « σίας λόγῳ καὶ χρείας ἐδόθησαν ἢ καὶ « ἐκ τῶν δοθέντων ἐπεκτήθησαν ».

(2) Cf. *Proch. Bas.* XXII, 2.

(3) *Proch. Bas.* XXII, 3: « Δευτέρα « διαφορά, ὅτι ἀγανακτήσας ὁ πατὴρ « κατὰ » &c.

(4) *Proch. Bas.* XXII, 4: « ἐὰν « πολλοῖς ἐποφειλων τις ὑποστῇ διάπρα- « σιν ὑπὸ τῶν ἑαυτοῦ δανειστῶν » &c. Qui è chiaro che si fa soltanto l'ipotesi della vendita per debiti del padre,

6. Τετάρτη δὲ διαφορά ἐστιν αὕτη· ἐὰν τελευτήσῃ ὁ πατὴρ πολλοὺς ἔχων παῖδας καὶ συμβῇ ἕνα τῶν παίδων ἔχειν παγανικὸν πεκούλιον καὶ ἰδιόκτητον, τὸ μὲν παγανικὸν πεκούλιον κοινόν ἐστι πάντων τῶν ὑπεξουσίων παίδων, τὸ δὲ ἰδιόκτητον μόνου τοῦ κτησαμένου ὑπάρχει (1).

7. Τὰ πεκούλια, ἅπερ ὑπεκτήσατο ὁ ὑπεξούσιος εἴτε ἀπὸ μακρᾶς ἀποδημίας καὶ χειμερινῆς καὶ καυσώδους ὁδοιπορίας, τουτέστιν ἀπὸ ταξιδίων (a) ὑποκτηθέντα, ἰδιόκτητα ὑπάρχουσι, καὶ δύναται ὁ ὑπεξούσιος ἐν (b) τούτοις διατίθεσθαι· ὁμοίως ἰδιόκτητα πεκούλια ὑπάρχουσιν, ἅπερ ἐκέρδησεν ἀπὸ συνεδρείας τῶν δικαστῶν καὶ συνηγορίας καὶ πάσης ἄλλης ἀξίας (2).

c. 32 b 8. Ἰδιόκτητον πεκούλιόν | ἐστι τὸ ἐπερχόμενόν τινι κληρικῷ καὶ ἱερατικῷ ἀπὸ τῆς ῥόγας, καὶ δύναται ἐν τούτῳ ὑπεξούσιος ὢν διατίθεσθαι (3).

(a) *Così il Cod.* (b) *Cod.* καὶ

6. Quarta vero differentia haec est: si pater complures habens liberos decedat eveniatque ut unus ex liberis paganum et castrense vel quasi peculium habeat, paganum quidem peculium omnium potestati subiectorum liberorum commune est, castrense autem vel quasi solius est, qui acquisivit.

7. Peculia, quae filiusfamilias ex longa peregrinatione hibernoque et aestivo itinere acquisivit, h. e. ex expeditionibus acquisivit, castrensia sunt et de iis filiusfamilias testari potest: similiter quasi castrensia sunt, quae ex assessione iudicum et advocatione, nec non omni dignitate acquisivit.

8. Quasi castrense peculium est, quod clerico vel ecclesiastico ex pensione acquiritur, et de eo licet filiusfamilias testari potest.

non già anche per debiti del figlio, come dice il nostro, il quale anche qui dà prova di non capire il suo testo.

(1) Cf. *Proch. Bas.* XXII, 5.

(2) Cf. *Proch. Bas.* XXII, 6. Il nostro però si accosta dippiù al testo dell'*Epanag.* XXXI, 4, che tralascia alcune proposizioni comprese nel *Proch. Bas.* Si noti anche la voce « τα- « ξιδίων », che ha la corrispondenza in « ταξειδίων » dei loc. cit. del *Proch. Bas.* e dell'*Epanag.*; cf. pure la nota 3 a p. 25 del nostro *Prochiron.* Con questo capitolo finisce il tit. XXII del *Proch. Bas.*

(3) Cf. *Epanag.* XXXI, 2.

9. Ἰδιόκτητον πεκούλιόν ἐστι καὶ τὸ ἐπερχόμενον τοῖς χαρτουλαρίοις ἢ ἑτέροις [a] ὑπάρχουσι βαθμοῖς ἀπὸ ῥόγας ἢ ἀπὸ τῶν λεγομένων συνηθειῶν, καὶ δύνανται καὶ οὗτοι ὑπεξούσιοι ὄντες διατίθεσθαι, εἰ μὴ ἄρα οἱ γονεῖς αὐτῶν ἔδωκάν τι περὶ αὐτῶν, ὁπόταν εἰσήχθησαν οἱ παῖδες εἰς τοὺς τοιούτους βαθμούς· εἰ γὰρ ἐξωδίασαν οἱ γονεῖς αὐτῶν ὑπὲρ αὐτῶν τι, τότε οἱ ὑπεξούσιοι χρεῶσται ὑπάρχουσι [b] τῶν ἰδίων γονέων τὸ ἱκανὸν αὐτοῖς δοῦναι, τουτέστιν ὅσον ἐξωδίασαν ὑπὲρ αὐτῶν ἐν τῷ εἰσαχθῆναι εἰς τοῦς βαθμοὺς τούτους, καὶ εἰς τὸ ἀπομεῖνον πεκούλιον ἰδιόκτητον δύνανται καλῶς διατίθεσθαι [1].

Τίτλος ιθ.

Περὶ διαθήκης ἀπελευθέρων.

1. Ἡ συγγένεια γενικὸν ὄνομα ‖ ὑπάρχει, τουτέστιν οὐκ ἔστιν ἴδιον ὄνομα ἑνὸς μόνου ἀνθρώπου, ἀλλὰ παντὸς ἀνθρώπου ἐστίν. αὕτη οὖν ἡ συγγένεια διαιρεῖται εἰς τρία, τουτέστιν εἰς τρεῖς τάξεις διαχωρίζεται, c. 33 A

(a) *Cod.* ἕτερον (b) *Cod.* ὑπάρχωσι

9. Et quasi castrense peculium est, quod chartulariis aut aliis dignitatibus ex stipendio aut ex dictis consuetudinibus acquiritur, et hi licet filiifamilias testari possunt, nisi parentes eorum aliquid pro eis dederint, quando filii huiusmodi dignitates consecuti sunt: quod si parentes aliquid pro eis expenderint, tunc filiifamilias parentibus suis quod ad eos pertinet dare tenentur, h. e. quod pro eis ut has dignitates acquirerent expenderunt, et de reliquo quasi castrensi peculio recte testari possunt.

Titulus XIX.

De libertorum testamento.

1. Cognatio nomen est generale, h. e. non est nomen unius tantum hominis, sed omnis hominis. Cognatio autem ipsa in tres dividitur, h. e. in tres ordines distinguitur, in ascendentes

(1) *Epanag.* XXXI, 3, tranne le parole « τουτέστιν - τούτους ».

εἰς ἀνιόντας καὶ εἰς κατιόντας καὶ εἰς τοὺς ἀπὸ πλαγίου. καὶ ἀνιόντες μέν εἰσι γονεῖς, πάπποι, προπάπποι καὶ οἱ ἀνώτεροι τούτων· κατιόντες (a) δέ εἰσι τέκνα, ἔγγονα καὶ ἀπέγγονα καὶ οἱ κατώτεροι τούτων· ἐκ πλαγίου δέ εἰσιν οἵτινες μήτε ἄνωθεν ἔρχονται τῷ διατιθεμένῳ μήτε κάτωθεν, ἀλλ' ἐκ πλευρᾶς, ὥσπερ εἰσὶν ἀδελφοὶ καὶ οἱ τούτων παῖδες, θεῖος καὶ θεία πρὸς πατέρος καὶ μητέρος. αὗται οὖν αἱ τρεῖς συγγένειαι ἐπὶ τῶν εὐγενῶν δεῖ ἵνα σκοπήσωμεν· εὐγενεῖς γὰρ λέγονται οἱ μὴ ἔχοντες εἰς τὴν γέννησιν αὐτῶν μῶμόν τινα ἀπὸ δούλων· τούτους οὖν τοὺς τρεῖς
c. 33 B βαθμοὺς ἐπὶ τούτους πρέπει ἵνα φυλάξωμεν. ἐπὶ τοῦς ‖ ἀπελευθέρους οἱ ἀρχαίων νομοθέται οὐκ εἶδον ἀνιόντας οὔτε τοὺς ἐκ πλαγίου· πῶς γὰρ ἕξουσιν ἀνιόντας καὶ τοὺς ἐκ πλαγίου οἱ ἐν ζυγῷ δουλείας γεννηθέντες; μόνην δὲ ἔχουσι τὴν συγγένειαν τῶν κατιόντων, τουτέστι τὴν συγγένειαν ἔχουσι τῶν παίδων μόνων τῶν συλληφθέντων καὶ τεχθέντων παρ' αὐτῶν, καὶ ἐγγόνων καὶ ἀπεγγόνων, καὶ τῶν ἑξῆς (1). ὅθεν ἐὰν ἀπελεύθερος

(a) *Cod.* κατϊόντες

et descendentes et collaterales. Et ascendentes quidem sunt genitores, avi, proavi et horum maiores; descendentes autem sunt filii, nepotes et pronepotes et horum minores; collaterales demum sunt, qui neque superius neque inferius testatori succedunt, sed a latere, veluti sunt fratres et horum filii, thius et thia a patre et a matre. Has autem tres cognationes in ingenuis considerare oportet; ingenui autem dicuntur, qui nullam a servis maculam in nativitate habent, in quibus tres has cognationes observemus oportet: in libertis antiqui legumlatores neque ascendentes neque collaterales agnoverunt; quomodo enim ascendentes et collaterales habebunt qui sub servitutis iugo nati sunt? Solam autem descendentium cognationem habent, h. e. cognationem habent liberorum ab ipsis conceptorum et natorum, et nepotum et pronepotum, et

(1) Cf. *Epanag.* XXXVII, 14, il qual luogo nell'edizione dello ZACHARIAE, pp. 195-6, è riferito in modo che i tre ultimi versi della p. 196 debbono stare in principio della medesima. « Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαι- « ρεῖται δὲ εἰς τρία, εἰς ἀνιόντας, εἰς κα- « τιόντας καὶ εἰς τοὺς ἐκ πλαγίου. ἀλλὰ « αὗται μὲν αἱ τρεῖς συγγένειαι ἐπὶ εὐγε- « νῶν σκοποῦνται. ἐπὶ δὲ τῶν ἀπελευ- « θέρων ἀνιόντας οὐκ ἴσασιν οἱ ἀρχαῖοι. « πῶς γάρ, ὁπότε ἐν δουλείᾳ ἐτέχθησαν; « οὔτε τοὺς ἐκ πλαγίου· ὁ γὰρ μὴ ἔχων « ἀνιόντας οὔτε τοὺς ἐκ πλαγίου κέκτηται, « ἐξ ἐκείνων γὰρ αὐτοὶ καταλαμβάνονται. « καὶ μόνην ἔχουσι τὴν τῶν κατιόντων

ἀδιαθέτως τελευτήσῃ, εἰ μὲν ὑπάρχει υἱὸς αὐτοῦ τεχθεὶς ἢ μετὰ τὴν ἐλευθερίαν ἢ πρὸ τῆς ἐλευθερίας, ὅστις καὶ σὺν αὐτῷ ἠλευθερώθη, ἢ μετὰ τὸ ἐλευθερωθῆναι τὸν πατέρα ἠλευθερώθη καὶ ὁ υἱός, οὗτος κληθήσεται εἰς τὴν κληρονομίαν τοῦ πατρὸς αὐτοῦ. εἰ δὲ υἱὸς οὐχ ὑπάρχει αὐτῷ, ὁ νόμος προσέταξε τὸν πάτρονα αὐτοῦ τοῦτον κληρονομῆσαι. εἰ δὲ ὁ ἀπελεύθερος ἄπαις ὢν ἐτελεύτησε καὶ διαθήκην ποιήσας ‖ μηδὲν τῷ πάτρονι c. 33 c
αὐτοῦ κατέλειψεν, ἢ καὶ παῖδας ἔχων ἢ ἐγγόνους ἀποκλήρους ποιήσας ἐτελεύτησε, καὶ μὴ δυνηθῶσιν οἱ παῖδες αὐτῶν ἀνατρέψαι τὴν διαθήκην, τότε ὁ πάτρων τοῦ διατιθεμένου τὸ τρίτον μέρος ἕξει ἐκ πάντων ὧν διέθετο ὁ τελευτήσας ἀπελεύθερος, ὥστε οὐ δύναται ἀναγκασθῆναι ὁ πάτρων (a) λαβεῖν μόνον λιγάτον (1).

2. Οὐ μόνον ὁ πάτρων καὶ ἡ πατρώνισσα τοῦ ἀπελευθέρου καλοῦνται μόνον εἰς τὴν κληρονομίαν τοῦ ἀπελευθέρου, ἀλλὰ καὶ οἱ παῖδες τῶν πατρώνων (b), καὶ οἱ ἐκ πλαγίου μᾶλλον αὐτῶν, μέχρι καὶ πέμπτου βαθμοῦ (2).

(a) *Cod.* πάτρον (b) *Così il Cod. Cf. cap. 3. Invece abbiamo* πάτρονα *e* πάτρονι *al cap. 1.*

deinceps. Unde si libertus intestatus moriatur, si quidem filius eius adest, sive post libertatem sive ante libertatem natus, qui una cum ipso manumissus, aut post patrem manumissum manumissus est et filius, hic ad patris hereditatem vocabitur. Quod si filius ei non sit, lex patronum ad illius hereditatem vocari iussit. Si autem libertus absque liberis moriatur et testamentum condens patrono suo nihil reliquerit, aut liberos vel nepotes habens, ipsis exheredatis, decesserit, neque liberi testamentum rescindere possunt, tunc patronus testatoris trientem ex iis, in quibus libertus obiens testatus est, accipiat, ita ut patronus cogi non possit ad legatum solum accipiendum.

2. Non solum patronus et patrona liberti ad huius hereditatem vocantur, sed et patronorum liberi et collaterales eorum ad quintum usque gradum.

« συγγένειαν, τουτέστι τῶν συλληφθέντων « καὶ τεχθέντων αὐτοῖς παίδων καὶ ἐφε- « ξῆς ». Cf. l'*Epanag. aucta,* XXIX, 1 e il *Proch. Bas.* XXIII, 1. Gli scolii aggiunti dal nostro non hanno riscontri nelle fonti citate.

(1) Cf. *Epanag.* loc. cit. Il *Proch. Bas.* e l' *Epanag. aucta* fanno di questa ultima parte un capitolo separato.

(2) Cf. *Proch. Bas.* XXIII, 3, corrispondente all'*Epanag.* XXXVII, 15.

3. Εἰ δὲ ὑπάρχουσι παῖδες τοῦ πάτρωνος ἢ τῆς πατρωνίσσης, ἢ δύο πατρώνων ἢ πατρωνισσῶν, ἢ καὶ πλείονες ὑπάρχουσι παῖδες, ὁ ἐγγύτερος τῷ βαθμῷ κληθήσεται εἰς τὰ πράγματα τοῦ ἀπελευθέρου (1).

Τίτλος κ.

Περὶ διαθήκης ἐπισκόπων καὶ μοναχῶν.

c. 33 D 1. Ὁ ἐπίσκοπος, πρὸ τοῦ γενέσθαι ἐπίσκοπος, δωρεῖται καὶ παρέχει καὶ πωλεῖ καὶ ἀλλάσσει, ὡς θέλει, ὅσα ἔσχεν· οὐ μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ ὑπεκτήσατο μετὰ τὸ γενέσθαι αὐτὸν ἐπίσκοπον τῇ ἐκκλησίᾳ αὐτοῦ ἁρμόζει, καὶ οὐδὲ κἂν (a) διατίθεται εἰς αὐτά, εἰ μὴ ἄρα ἐδόθησαν αὐτὰ μετὰ τὸ γενέσθαι αὐτὸν ἐπίσκοπον παρὰ τῶν ζώντων γονέων αὐτοῦ ἢ θείων ἢ ἀδελφῶν αὐτοῦ (2).

(a) κἂν] *da expungere ?*

3. Quod si patroni aut patronae, aut duorum patronorum vel patronarum liberi adsint, et hi plures sint, proximus gradu in liberti bona vocabitur.

Titulus XX.

De episcoporum et monachorum testamento.

1. Episcopus, antequam episcopus fiat, quaecumque habet, donat et praestat et vendit et permutat, prout vult; neque hoc solum facit, sed de iis quoque testatur. Quae autem acquisivit postquam episcopus factus est, ad ecclesiam eius pertinent, neque de iis testari potest, nisi forte ea a parentibus eius viventibus aut thiis aut fratribus data sint post episcopatum acceptum.

(1) *Proch. Bas.* XXIII, 4: « Εἰ δὲ « τοῦ αὐτοῦ πάτρωνος ἢ τῆς πατρωνίσ- « σης ἢ δύο πατρώνων ἢ πατρωνισσῶν ἢ « καὶ πλειόνων ὕπεισι παῖδες, ὁ ἐγγύτε- « ρος τῷ βαθμῷ εἰς τὰ τοῦ ἀπελευθέρου « κληθήσεται πράγματα. Εἰ δὲ ἑνὸς πά- « τρωνος εἰσὶ δύο παῖδες, ἄλλου δὲ τρεῖς, « εἰς πέντε μερισθήσεται ἡ κληρονομία· « τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου ». Il nostro tralascia le ultime disposizioni.

(2) *Proch. Bas.* XXIV, 1: « Ὅσα ἔσχεν « ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς » &c.

2. Ὁ μέλλων γενέσθαι μοναχὸς μέλλει πρῶτον ποιῆσαι διαθήκην καὶ τυπῶσαι τὰ ἑαυτοῦ πράγματα πρὸ τῆς εἰσόδου τοῦ μοναστηρίου. εἰ γὰρ τοῦτο μὴ ποιήσει, τοῦ μοναστηρίου πάντα ὑπάρχουσι, κἂν μὴ ῥητῶς εἴπῃ ταῦτα φέρειν ἐκεῖ, καὶ οὐκέτι ἔσται κύριος τῶν πραγμάτων αὐτοῦ κατ' οὐδένα τρόπον (1).

3. Ἐάν τις παῖδας ἔχων μοναχὸς γένηται, καλῶς δύναται μετὰ τὸ μονάσαι διαμερίσαι τὴν ὑπόστασιν αὐτοῦ εἰς τοὺς ἰδίους παῖδας, ἀλλ' οὖν c. 34 A
μέλλει φυλάξαι ἑαυτῷ ἓν μέρος κατὰ τὴν ποσότητα τοῦ μέρους ἑνὸς τῶν παίδων αὐτοῦ, ὃ καὶ ἁρμόζει τῷ μοναστηρίῳ. εἰ δὲ ἀδιάθετος καὶ ἄνευ διαθήκης τελευτήσει, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου (a), τουτέστι τὸ φαλκίδιον, καὶ τὸ ἄλλο δίδοται τῷ μοναστηρίῳ (2).

4. Ἐάν τις καταλίπῃ τὸ ἴδιον αὐτοῦ μοναστήριον καὶ ἀπέλθῃ εἰς ἄλλο, ἐὰν μὴ (b) δεχθῇ, ἐκπίπτει τῶν ἰδίων πραγμάτων (3).

(a) *Cod.* ἀπαιδίας (b) μὴ] *manca nel Cod.; l'ho supplito dal Proch. Bas. XXIV, 4.*

2. Qui monachus fiet, ante omnia testamentum condat et de rebus suis statuat antequam monasterium ingrediatur. Quod si hoc non fecerit, omnia monasterio addicuntur, etsi aperte ea se illuc illaturum non dixerit, neque amplius rerum suarum ullo modo dominus erit.

3. Si quis liberos habens monachus fiat, recte, et postquam monachus factus est, substantiam suam inter liberos dividere potest, sibi autem partem unam reservabit, secundum quantitatem partis unius liberorum, quae ad monasterium pertinet. Quod si intestatus et sine testamento decesserit, tunc liberi partem ab intestato, h. e. falcidiam, accipient, et quod reliquum est monasterio datur.

4. Si quis monasterium proprium reliquerit et ad aliud transierit, licet non recipiatur, rebus propriis cadit.

(1) *Proch. Bas.* XXIV, 5: « Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω τὰ καθ' ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φήσειεν εἰσάγειν αὐτά, καὶ οὐκέτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν ».

(2) *Proch. Bas.* XXIV, 3: « Ὁ ἐπὶ παισὶ μονάσας δύναται » &c.

(3) *Proch. Bas.* XXIV, 4: « Ὁ ἀπὸ μοναστηρίου εἰς ἄλλο μοναστήριον μετιὼν » &c.

Τίτλος κα.

Περὶ ἀνατροπῆς διαθήκης.

1. Τρία πάθη παρενοχλοῦσι ταῖς διαθήκαις, καὶ τὸ μὲν πρῶτον πάθος ἐστὶν ἡ ῥῆξις [a], τὸ δεύτερόν ἐστιν ἡ ἀκυρωσία, τὸ δὲ τρίτον ἐστὶν ἡ ἀτέλεια [1]. καὶ αἱ μὲν ῥηγνύμεναι διαθῆκαι ἢ παντελῶς ῥήγνυνται [2], ἢ ἐκ μέρους· καὶ παντελῶς μὲν ῥήγνυνται κατὰ τρόπους ἕξ. καὶ πρῶτος μὲν τρόπος ἐστίν, ὅταν τις μετὰ τὸ ποιῆσαι διαθήκην λάβοι [b]
c. 34 B τινὰ‖ εἰς υἱοθεσίαν [3]· τότε ἡ διαθήκη ῥήσσεται [c] παρὰ τοῦ θετοῦ υἱοῦ, διότι ἐν αὐτῇ οὐκ ὀνομάζεται. δεύτερος τρόπος ἐστίν, ὅταν μετὰ τὸ γενέσθαι τὴν διαθήκην ἢ μετὰ τὸν θάνατον τοῦ διατιθεμένου υἱὸς τεχθῇ, ἢ ἐξ [d] ὑπεξουσίου υἱοῦ θανόντος τεχθῇ υἱός, τουτέστιν ἔγγονος τοῦ διατιθεμένου, κἂν πρόσκειται οὕτως ἐν τῇ διαθήκῃ μετὰ τοὺς τυπωθέντας κληρονόμους ἐν τῇ διαθήκῃ· ἔστωσαν ἀπόκληροι· εἰ μὴ [e] ἄρα λιγα-

(a) *Cod.* ρίξης (b) *Così il Cod. Cf. XIV, 14.* (c) *Così il Cod.* (d) ἐξ *soprascritto, ma, come sembra, di prima mano.* (e) *Cod.* μὶ

Titulus XXI.

De infirmatione testamenti.

1. Tria vitia testamentis nocent, et primum quidem est vitium rupti, secundum irriti, tertium autem imperfecti. Et rupta quidem testamenta aut omnino rumpuntur aut ex parte; et omnino quidem sex modis rumpuntur. Primus autem modus est, cum quis post factum testamentum aliquem in adoptionem accipiat: tunc rumpitur testamentum ab adoptivo filio, cuius in eo mentio non est. Secundus vero modus est, si post testamentum conditum aut post testatoris obitum filius nascitur, aut ex praemortuo filiofamilias nascitur filius, h. e. testatoris nepos, quamvis post heredes in testamento institutos sic in testamento ipso scriptum sit: exheredes sunto; nisi forte natus puer quid in legatum acceperit aut pariens

(1) *Proch. Bas.* XXV, 1, corrispondente all'*Epanag.* XXXII, 1: « Ταῖς « διαθήκαις τρία πάθη παρενοχλεῖ, οἷον « ῥῆξις, ἀκυρωσία καὶ ἀτέλεια ».

(2) *Proch. Bas.* XXV, 2, corrispondente all'*Epanag.* loc. cit.: « ἢ καθόλου « ῥήγνυνται » &c.

(3) Le fonti citate aggiungono a questo luogo: « καθ' οἱονδήποτε τρόπον « τῆς υἱοθεσίας ».

τευθῇ ὁ γεννηθεὶς παῖς, ἢ ἐκτρώσῃ ἡ γυνὴ αὐτοῦ τίκτουσα. τρίτος τρόπος ἐστίν, ὅταν ὁ θετὸς υἱὸς ὑπεξούσιος ὢν οὐ μνημονευθῇ ἐν τῇ διαθήκῃ. τέταρτος τρόπος ἐστίν, ὅταν δευτέρα γένηται διαθήκη κατὰ νόμον, εἴτε γέγονεν ἐν αὐτῇ ὁ κληρονόμος, εἴτε μὴ (a) γέγονε. πέμπτος τρόπος ἐστίν, ὅταν δευτέρα (b) γένηται διαθήκη κατὰ νόμους ‖ καὶ καταστήσῃ ἕτερον κληρονόμον εἰς ἀφωρισμένα (c) πράγματα, μὴ (d) βεβαιοῦσα ἡ δευτέρα διαθήκη τὰ (e) τῆς πρώτης διαθήκης. ἕκτος τρόπος ἐστίν, ὅταν υἱὸς στρατιώτου ἐγκυμονούμενος ἠγνοήθη, ὅταν τὴν διαθήκην ἐποίησεν, εἰ γὰρ ἐγίνωσκε τὴν γυναῖκα αὐτοῦ ἔγκυον οὖσαν καὶ (f) ἐσιώπησεν, οὐ ῥήγνυται ἡ διαθήκη (1). c. 34 c

2. Ῥήγνυνται δὲ αἱ διαθῆκαι ἐκ μέρους κατὰ δύο τρόπους· καὶ πρῶτος μὲν τρόπος ἐστίν, ὅταν εἴπῃ ἡ δευτέρα διαθήκη βέβαια μένειν τὰ ἐν τῇ πρώτῃ διαθήκῃ, ἀλλὰ καταστήσει (g) ἕτερον κληρονόμον εἰς ὡρισμένα (h) πράγματα· ἀρκεῖ γὰρ αὐτῷ τὰ ἐαθέντα, εἰ καὶ μὴ ποιεῖ τὸ φαλκίδιον (2). δεύτερος τρόπος ἐστίν, ὅταν τις θυγατέρα ὑπεξουσίαν ἔχῃ

(a) *Cod.* μὶ (b) δευτέρα] *manca nel Cod. Per le parole supplite cf.* Proch. Bas. XXV, 2. (c) *Cod.* ἀφορισμένα (d) μὴ] *manca nel Cod.* (e) τὰ] *manca nel Cod.* (f) καὶ] *manca nel Cod.* (g) *Così il Cod. Cf. cap. 4.* (h) *Cod.* ὁρισμένα

uxor eius abortum fecerit. Tertius modus est, si adoptivus filiusfamilias in testamento haud nominatus sit. Quartus modus est, si alterum testamentum secundum legem fiat, sive heres in eo factus, sive etiam non. Quintus modus est, si alterum testamentum legitime conditum heredem alium in re certa instituerit, neque secundum testamentum ea, quae in primo erant, confirmaverit. Sextus modus est, si miles infantem ex se conceptum ignoraverit, quando testamentum fecit; sin autem uxorem suam praegnantem noverit et silentio praeterierit, non rumpitur testamentum.

2. Ex parte autem rumpuntur testamenta duobus modis: et primus quidem modus est, si secundum testamentum quae in priori testamento scripta sunt firma manere dixerit, sed in rebus certis alium heredem instituerit; ei enim relicta sufficiunt, etsi falcidiam non expleant. Secundus modus est, si quis filiamfamilias aut

(1) Cf. *Proch. Bas.* ed *Epanag.* loc cit.

(2) *Proch. Bas.* XXV, 3 (corrispondente all' *Epanag.* XXXII, 2): « Ἐκ « μέρους δὲ κατὰ τρόπους δύο. καὶ πρῶτος « τρόπος ἐστίν, ὅταν δευτέρα διαθήκη τὰ « μὲν ἐν τῇ πρώτῃ βέβαια μένειν διαγο-

ἢ ἐγγόνην, οὐκ ἔγραψε δὲ αὐτὰς κληρονόμους· τότε ἡ διαθήκη οὐ
c. 34 D ῥήγνυται παντελῶς, αὗται δὲ ὑπεισέρχονται τῇ ‖ κληρονομίᾳ (1). καὶ εἰ
μὲν ἐγράφη ἡ κληρονομία εἰς ἐξωτικούς, τουτέστιν εἰς τοὺς μὴ (a) ὄντας
συγγενεῖς αὐτοῦ, τὸ ἥμισυ οἱ οἰκεῖοι λαμβάνουσιν· εἰ δὲ εἰς οἰκείους
τὴν κληρονομίαν κατέλειψεν, ἐπίσης, τουτέστιν ὁμοίως, πάντες κληρονο-
μοῦσιν.

3. Ἡ δὲ ἀκύρωσις κατὰ τέσσαρας τρόπους γίνεται ταῖς διαθή-
καις (2)· καὶ πρῶτος ἐστίν, ὅταν ὁ διατιθέμενος δικασθῇ θανάτῳ ὑπὸ
τοῦ βασιλέως (3) ἢ ἐξορισθῇ (b), ἢ αὐτεξούσιος ὑπάρχων, ἑαυτὸν δέδωκεν
ἑτέρῳ εἰς υἱοθεσίαν, ἢ ὑπεξούσιος ὢν, αὐτεξούσιος ἐγένετο. δεύτερος
τρόπος ἐστίν, ὅταν δευτέρα γραφῇ διαθήκη κατὰ νόμον ὑπάρχουσα, τότε
ἡ μὲν πρώτη ῥήγνυται (c), ἡ δὲ δευτέρα ἀκυροῦται δι' αἰτίαν τῶν πεφυ-
κότων κληρονομεῖν, τουτέστιν ὅταν ἀποτάξωνται τῇ κληρονομίᾳ καὶ μὴ
c. 35 A θελήσωσιν οἱ γραφέντες κληρονόμοι τῇ κληρονομίᾳ ὑπεισελθεῖν, ‖ ἢ ὅταν

(a) μὴ] *manca nel Cod.* (b) *Cod.* ἐξωρισθῇ (c) *Cod.* ῥυγνυται

neptem habet easque heredes non scribit; tunc testamentum omnino non rumpitur, sed hae hereditatem adeunt. Et si hereditas extraneis delata est, h. e. iis, qui eius cognati non sunt, parentes medietatem accipiunt; quod si parentibus hereditatem reliquit, omnes ex aequo, h. e. aequaliter, succedunt.

3. Irrita autem testamenta quatuor modis fiunt; et primus quidem est, quando testator capitis a rege damnetur aut deportetur, vel, cum sui iuris sit, alteri se in adoptionem dederit, vel, cum sit filiusfamilias, sui iuris fiat. Secundus modus est, si alterum testamentum legitime conscribitur, tunc primum rumpitur et secundum irritum fit propter scriptos heredes, h. e. si hereditatem repudient, et hereditatem scripti heredes adire nolint, aut ante testatorem relicti heredes obeant, priusquam hereditatem adeant,

« ρεύῃ, ἕτερον δὲ κληρονόμον εἰς ὡρισμένα « πράγματα κατέστησεν ». Si noti come il nostro rende più piana la costruzione delle parole.

(1) Le fonti citate, loc. cit., hanno: « ἢ ἔγγονον ἢ ἐγγόνην, οὐκ ἔγραψε δὲ « αὐτοὺς κληρονόμους » &c.

(2) *Proch. Bas.* XXV, 4 (corrispondente all'*Epanag.* XXXII, 3): « Αἱ δὲ « ἀκυρούμεναι κατὰ δ' τρόπους γίνονται ».

(3) Le fonti citate dicono in generale: « ὅταν ὁ διαθέμενος θανάτῳ καταδι- « κασθῇ »; le parole « ὑπὸ τοῦ βασι- « λέως » sono aggiunte dal nostro.

προτελευτήσωσι πρὶν τοῦ διατιθεμένου οἱ καταλειφθέντες κληρονόμοι, πρὸ τοῦ παραλαβεῖν τὴν κληρονομίαν, ἢ ὅταν ἐγράφησαν κληρονόμοι ὑπὸ αἵρεσιν, καὶ ἡ αἵρεσις ἠτόνησε, τουτέστιν οὐκ ἠδύνατο γενέσθαι, ὡς ὅταν ὁ διατιθέμενος ἢ ἄλλος τις εἴπῃ· ἐὰν ὁ δεῖνα κληρονόμος μου δώσῃ νομίσματα ρ' ὑπὲρ ψυχικῆς σωτηρίας μου, προστάσσω ἵνα δοθῇ αὐτῷ τὸ τρίτον μέρος πάσης τῆς ὑποστάσεώς μου. αὕτη ἐστὶν ἡ λεγομένη αἵρεσις, ἣν Λατῖνοι λέγουσι κονδίτζιο (1). τρίτος δὲ τρόπος ἐστίν, ὅταν τις ἄνθρωπος μετά τινος ἔχων δίκην ποιήσῃ κληρονόμον αὐτοῦ τὸν βασιλέα ἐγγράφως ἢ ἀγράφως· τότε οὐ κληρονομεῖ αὐτὸν ὁ βασιλεύς, ἀλλὰ ἀκυροῦται ἡ διαθήκη τοῦ διατιθεμένου, διότι κατὰ φόβον τοῦ ἀντιδίκου αὐτοῦ ἐποίησε τὸν βασιλέα κληρονόμον αὐτοῦ, ἀλλὰ (a) κα‖τὰ νόμους κληρονομεῖ αὐτὸν ὁ βασιλεύς· εἰ τάχα γὰρ καὶ νόμοις οὐχ ὑπόκεινται οἱ βασιλεῖς, ἀλλ' οὖν κατὰ νόμους πολιτεύονται (2). τέταρτος τρόπος ἐστίν, ὅταν (b) τὴν ἐσφραγισμένην διαθήκην ἀποσφραγίσας ἀφῆκεν αὐτὴν ἀσφράγιστον, ἢ εἶπεν· οὐ θέλω ταύτην μου τὴν διαθήκην ἵνα ἔξῃ c. 35 B

(a) *Il testo è corrotto, forse lacunoso. Cf.* Proch. Bas. XXV, 4: « εἰ μὴ ἄλλως πως ». (b) *Forse è da supplire* τις

aut ὑπὸ αἵρεσιν scripti sint et deficiat ἡ αἵρεσις, h. e. existere non potuit; veluti si testator aut quispiam alius dicat: « si heres meus « nummos .c. pro animae meae salute dederit, volo ut ei tertia pars « totius substantiae meae detur ». αἵρεσις autem idem est, quod Latini conditio dicunt. Tertius vero modus est, si quis litem habens cum aliquo principem scripto vel non scripto testamento heredem fecerit, tunc ei princeps non succedit, sed testatoris testamentum irritum fit, cum ob adversarii metum principem heredem suum fecerit, nisi aliquo modo princeps secundum leges ei heres sit: etsi enim principes legibus subiecti non sint, attamen secundum leges regnant. Quartus modus est, si quis obsignatum testamentum resignans resignatum reliquerit, vel dixerit: « nolo hoc

(1) L'esempio addotto dal nostro non ha riscontro nelle fonti.

(2) *Proch. Bas.* ed *Epanag.* loc. cit.: « τρίτος δὲ τρόπος, ὅταν τις δίκην ἔχων « πρός τινα, τὸν βασιλέα κληρονόμον ποιήσῃ « ἐγγράφως ἢ ἀγράφως, εἰ μὴ ἄλλως « πως κατὰ νόμους κληρονομῇ αὐτὸν ὁ « βασιλεύς· εἰ γὰρ καὶ νόμοις οἱ βασιλεῖς « οὐχ ὑπόκεινται, ἀλλ' οὖν κατὰ νόμους « πολιτεύονται ».

δύναμιν. ἅπαντα γὰρ τὰ πράγματα, ἅτινα γίνονται κατὰ νόμους, πρέπει ἵνα καταλυθῶσι κατὰ τὸν νόμον (1).

4. Ἡ δὲ ἀτέλεια τῶν διαθηκῶν κατὰ ε' τρόπους νοεῖται (2). καὶ πρῶτος μὲν τρόπος ἐστίν, ὅταν γένηται διαθήκη μὴ ἔχουσα ὑπογραφὰς ζ' μαρτύρων ἢ ε', καθὼς προείρηται. δεύτερος δὲ τρόπος ἐστίν, ὅταν παρῶσιν οἱ μάρτυρες καὶ οἱ πάντες οὐχ ὑπέγραψαν. τρίτος τρόπος ἐστίν, ὅταν πάντες μὲν ὑπέγραψαν, οὐκ ἐσφράγισαν δὲ οἱ πάντες. τέταρτος
c. 35 c τρόπος ἐστίν, ὅταν ὁ διατιθέμενος μὴ ‖ γράψῃ τὸ ὄνομα τοῦ κληρονόμου, καὶ οὐ μνημονεύσει (a) ἐπὶ τῶν μαρτύρων τὸ ὄνομα αὐτοῦ. πέμπτος τρόπος ἐστίν, ὅταν ἔχοι (b) τις υἱοὺς αὐτεξουσίους ἢ ὑπεξουσίους, ἢ ἐγγόνους ὑπεξουσίων παίδων προτελευτησάντων, καὶ (c) τούτους οὔτε κληρονόμους γράφει οὔτε ἀποκλήρους ὀνομάζει, κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι· καὶ τοῦτο μέλλει ὁ διατιθέμενος οὕτω ποιῆσαι διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἐξ ἀρχῆς ἐν διαθήκαις ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα ἐπιγινομένων

(a) *Così il Cod. È da correggere* μνημονεύσῃ? *Cf. capp. 2, 21; XXIII, 17 &c.*
(b) *Cf. XXI, 1.* (c) καὶ] *manca nel Cod.*

« meum testamentum vim habiturum ». Omnia enim que secundum leges fiunt, oportet ut secundum legem rescindantur.

4. Imperfecta autem testamenta .v. modis intelliguntur. Et primus quidem modus est, si testamentum fiat .vii. vel .v. testium subscriptiones non habens, prout antea dictum est. Secundus vero modus est, si adsint quidem testes, sed non omnes subscripserint. Tertius modus est, si omnes quidem subscripserint, sed non omnes signaverint. Quartus modus est, si testator heredis nomen non scripserit neque illud coram testibus nuncupaverit. Quintus modus est, si quis liberos vel emancipatos vel in potestate habeat vel nepotes ex praemortuis filiisfamilias, hosque neque heredes scribat neque exheredes dicat, etsi antea eos mori contingat; et hoc ita testator facere debet, propter regulam dicentem: « Quae in testamentis ab initio consistere nequeunt, ex post

(1) Loc. cit.: « τέταρτος δὲ τρόπος « ἐστίν, ὅταν ἀποσφραγίσας εἴασεν αὐτὴν « οὕτως (*Epanag.* loc. cit.: « ἀποσφρα- « γίσας τὴν διαθήκην ὁ διαθέμενος εἴασεν « αὐτὴν οὕτως »), ἢ εἶπεν ὅτι οὐκ ἰσχύειν « αὐτὴν βούλομαι. τὰ γὰρ κατὰ νόμους « γινόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ ».

(2) *Proch. Bas.* XXV, 5 (corrispondente all'*Epanag.* XXXII, 4): « Αἱ δὲ « ἀτελεῖς κατὰ ε' τρόπους νοοῦνται ».

ἰσχὺν λαμβάνειν οὐ δύνασθαι (1)· τοιοῦτον. ἐὰν γραφῇ ἐν τῇ διαθήκῃ πρᾶγμα, ὅπερ πρὸ χρόνων ἐπιτάττει παρὰ τῶν βασιλέων μὴ ὑπάρχειν κατὰ νόμον, οὐδὲν (a) λαμβάνει δύναμιν ἀπὸ τῶν πραγμάτων τῶν γενομένων ὕστερον.

5. Ὁ ὑπεξούσιος οὐ δύναται διατίθεσθαι· κἂν ὁ πατὴρ | θεραπεύων αὐτὸν ἐπιτρέψῃ, τοιοῦτο κελεύσει (b), αὐτῷ διατίθεσθαι εἰς ὅσον θελήσει μέρος τῆς οὐσίας αὐτοῦ, οὐκ ἔῤῥωται ἡ διαθήκη ἐκείνη, εἰ μὴ ἄρα ὁ πατὴρ τοῦ παιδὸς μείνῃ ἐν τῷ θελήματι τούτῳ μετὰ τὴν τοῦ παιδὸς τελευτήν· εἰ γὰρ μένει ἐν τῷ προτέρῳ σκοπῷ, ἔῤῥωται ἡ διαθήκη (2). c. 35 a

28. Volumus ut nullo modo iudices admittant testimonia vana et causae non convenientia, et praesertim quando testes ficta testimonia dicunt, veluti: « cum nos alia quadam de causa aut mi« nisterio iremus, hunc dicentem audivimus: argentum quod mihi « debebatur ab eo accepi ». Suspecta enim haec testimonia sunt et nihilo digna neque valida.

osservi però come il nostro guasti la sua fonte! « Ὁ τρίτον παραγαγὼν μάρ« τυρας οὐκέτι προφέρει μετὰ τὴν ἔκδοσιν « τῶν παραγραφῶν. ἐὰν δὲ μὴ ἐξέ« λαβε, μήτε ἐνέτυχε δι' ἑαυτοῦ « ἢ διὰ τοῦ ἰδίου συνηγόρου ταῖς « μαρτυρίαις, τότε δύναται πρὸ ἐκ« δόσεως τῶν παραγραφῶν καὶ τε« τάρτην μαρτυρίαν προσάγειν, ὀμνύων ὅτι « οὐ κατὰ δόλον ζητεῖ τὴν τῶν μαρτύρων « παραγωγήν ».

(1) Il nostro riferisce ai testimoni ciò che il *Proch. Bas.* XXVII, 17 (corrispondente all'*Epanag.* XII, 28 e ai *Dig.* II, 11, 1) dice delle parti litiganti: « Εἴκοσι μίλια καθ' ἡμέραν λογίζεται τῷ « ὀφείλοντι παραστῆναι, ὑπεξῃρημένης τῆς « ἡμέρας, καθ' ἣν ὡμολόγησε καὶ καθ' ἣν « αὐτὸν δεῖ παραστῆναι ». L'accenno che il nostro fa alla regione lontana, come vedesi, è estraneo alla sua fonte; la quale inoltre dice che, nel computo dei giorni, non si dee tener conto nè di quello, in cui la parte promise di presentarsi, nè di quello, nel quale dee presentarsi, mentre il nostro vuole eccettuato solo il giorno, in cui i testimoni « ὡμολόγησαν παρα« στῆναι ».

(2) *Proch. Bas.* XXVII, 18: « Τὰς « ματαίας καὶ ἐκ τοῦ παρήκοντος γινο« μένας μαρτυρίας μηδενὶ παντάπασι λόγῳ « κρατεῖν βουλόμεθα, καὶ τοιαύτας τινὰς « πλάττειν μαρτυρίας ὡς δι' ἄλλην τινὰ « χρείαν παρατυχὼν ἀκούσοι τοῦδε λέγον« τος εἰληφέναι παρὰ τοῦδε χρυσίον ἢ ὀφεί« λειν τόδε. αὗται γὰρ σαφῶς ὕποπτοι « καθεστᾶσι καὶ οὐδενὸς ἄξιαι λόγου ».

29. Ἐάν τις παράγῃ καὶ προσφέρει [a] μίαν φορὰν ἢ καὶ δευτέραν φορὰν μάρτυρας, καὶ μετὰ ταῦτα ἀποδείξηται διὰ τῶν παραγραφῶν, τουτέστι διὰ τὸ ἀπορρίπτεσθαι τοὺς μάρτυρας, οὐ δύναται ἄλλους μάρτυρας παραγαγεῖν καὶ προσφέρειν οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς [1].

30. Ἐὰν κατηγορήσῃ τίς τινος ἀνθρώπου ἐγκληματικῶς, ὕστερον οὐ δύναται μαρτυρεῖν κατ' αὐτοῦ. εἰ δὲ ὑπάρχει εὔλογος ἡ αἰτία, κωλύεται μαρτυρῆσαι [b] [2].

31. Οὐ μαρτυρεῖ παρ' ἄλλῳ δικαστῇ ὁ μεσάσας μέσον τῶν β' ἔν τινι πράγματι, εἰ μὴ ἄρα στέρξωσι τοῦτο τὰ β' μέρη [3].

32. Οἱ πένητες οὐ μαρτυροῦσι· πένης δὲ ὑπάρχει ὁ μὴ ἔχων περιουσίαν πεντήκοντα νομισμάτων [4]. c. 42 A

33. Ὁ ἀπελεύθερος οὐ μαρτυρεῖ κατὰ τοῦ πάτρωνος ἢ κατὰ παιδὸς αὐτοῦ [5].

(a) *Così il Cod. Cf. cap. 8.* (b) *Cf. Proch. Bas. XXVII, 20.*

29. Si quis una aut et altera vice testes producat et proferat posteaque exceptiones examinet, h. e. ad testes abiiciendos, nec per principis rescriptum alios testes producere et proferre potest.

30. Si quis aliquem criminaliter accusaverit, adversus eum postea testari nequit. Quod si iusta causa sit, testari prohibetur.

31. Apud alium iudicem non testatur qui arbiter inter duos de quadam re fuit, nisi in hoc utraque pars consenserit.

32. Pauperes minime testantur. Pauper autem est, qui quinquaginta nummorum substantiam non habet.

33. Libertus non testatur adversus patronum aut liberum eius.

(1) *Proch. Bas.* XXVII, 19: « Ὁ « ἅπαξ ἢ δὶς παραγαγὼν μάρτυρας ἐὰν « ἀποτάξηται καὶ διασκέψηται « διὰ τῆς ἐκδόσεως τῶν παρα- « γραφῶν τῶν μαρτύρων καὶ μάθῃ « τὰς μαρτυρίας, οὐ δύναται οὐδὲ « διὰ βασιλικῆς ἀντιγραφῆς ἄλλους πα- « ραγαγεῖν μάρτυρας ». Cf. il precedente capitolo 26 e la nota ivi.

(2) *Proch. Bas.* XXVII, 20: « Ὁ « ἐγκληματικῶς τινος κατηγορήσας οὐ δύ- « ναται μαρτυρεῖν κατ' αὐτοῦ. ὁ γὰρ « χρηματικῶς τινα αἰτιασάμε- « νος οὐ κωλύεται μὲν μαρτυρεῖν « κατ' αὐτοῦ· πλὴν ὑπούσης εὐλόγου « αἰτίας κωλύεται ». L'ultima frase del nostro per diventare intelligibile dev'essere messa in rapporto con le parole del *Proch. Bas.* da lui tralasciate.

(3) *Proch. Bas.* XXVII, 21: « Ὁ « μεσάσας τισὶν ἐν πράγματι οὐ μαρτυρεῖ « αὐτοῖς ἐν τῇ αὐτῇ ὑποθέσει, δηλονότι « παρὰ ἄλλῳ δικαστῇ, εἰμὴ ἄρα συναι- « νέσωσι τὰ δύο μέρη τῇ μαρτυρίᾳ αὐτοῦ ».

(4) Cf. *Proch. Bas.* XXVII, 22.

(5) Cf. *Proch. Bas.* XXVII, 23.

34. Ὁ μικρότερος τῶν κε ἐτῶν οὐ μαρτυρεῖ, οὔτε ὁ δικασθεὶς παρὰ τῶν δικαστῶν καὶ μὴ λαβὼν ἀποκατάστασιν τοῦ βασιλέως, ὁμοίως καὶ ὁ ἐν δεσμοῖς καὶ ἐν δημοσίᾳ φρουρᾷ βληθείς, οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρημάτων ἐπὶ τῷ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι, οὐ δύναται μαρτυρεῖν (1).

35. Οὐκ ἐστι μάρτυς ἀξιόπιστος, ὅστις προστάσσεται ἐπὶ τῷ μαρτυρῆσαι (2).

36. Ὅστις καταδικάζεται παρὰ τῶν κριτῶν ἐπὶ μοιχείας ἢ κλεψίας ἢ συκοφαντίας, οὗτος οὐ δύναται μαρτυρῆσαι (3).

37. Οὐ μαρτυρεῖ ὁ υἱὸς τῷ πατρί, οὔτε ὁ πατὴρ τῷ υἱῷ μαρτυρεῖ ἐν οἱῳδήποτε πράγματι (a) (4).

38. Ὁ δοῦλος κατά τινος οὐ (b) μαρτυρεῖ (5).

c. 42 B 39. Ὁ μαρτυρήσας κατά τινος ὑπέρ τινος ὑποθέσεως, οὐ μαρτυρεῖ πάλιν κατ' αὐτοῦ (6).

(a) *Cod.* πράγματα (b) οὐ] *Soprascritto, ma, come sembra, della stessa mano.*

34. Minor .xxv. annis non testatur; neque a iudicibus damnatus et a rege non restitutus, aut in vincula et publicum carcerem coniectus, neque convictus pecuniam accepisse ad testimonium dicendum aut non dicendum, testari potest.

35. Non est testis fide dignus, cui imperatur ut testis fiat.

36. Qui a iudicibus adulterii, furti aut calumniae damnatur, testis esse non potest.

37. Filius patri et pater filio testis esse non potest in quacumque re.

38. Servus adversus quempiam non testatur.

39. Qui contra aliquem de aliqua re testimonium praebuit, rursus contra eum testari non potest.

(1) *Proch. Bas.* XXVII, 24: « Οὐ « μαρτυρεῖ ὁ ἧττον τῶν εἴκοσιν (πέντε) « ἐτῶν, οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ « καταδικασθεὶς καὶ μὴ ἀποκατα- « στάς » &c. Si noti che il nostro ha: « λαβὼν ἀποκατάστασιν τοῦ βα- « σιλέως ».

(2) Cf. *Proch. Bas.* XXVII, 25.

(3) Cf. *Proch. Bas.* XXVII, 26: questo però parla solo del condannato « περὶ « μοιχείας ».

(4) Cf. *Proch. Bas.* XXVII, 27: l'ultima frase di questo è diversa: « οὔτε οἱοσδή- « ποτε ἐν ἰδίῳ πράγματι (μαρτυρεῖ) ».

(5) Cf. *Proch. Bas.* XXVII, 28.

(6) Cf. *Proch. Bas.* XXVII, 29.

40. Ὁ συνηγόρας [a] ἢ ἐμβίβασιν ποιήσας ἔν τινι ὑποθέσει οὐ μαρτυρεῖ ἐν αὐτῇ [1].

41. Οὐδεὶς ἀναγκάζεται ἢ ἀπαιτεῖται καθ' ἑαυτοῦ φέρειν μάρτυρας· ἀλλὰ πρέπει πᾶς ἐνάγων ἵνα εἴπῃ τὰς ἰδίας δικαιολογίας [2].

42. Ὁ ἐν διαθήκῃ τινὸς ὑπογράψας κωλύεται ἐν διαθήκῃ μαρτυρῆσαι [3].

43. Κωλύεται μαρτυρεῖν ἄνηβος, οἰκέτης, κωφός, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος καὶ ὁ πατὴρ αὐτοῦ, καὶ ὁ γραφεὶς παρ' ἄλλου κληρονόμος [4], καὶ ὁ συνυπεξούσιος ὑπὲρ τοῦ γραφέντος ἐν διαθήκῃ συνυπεξουσίου κληρονόμου, καὶ ὁ συνυπεξούσιος [b] διατιθεμένου εἰς τὰ ἰδιόκτητα αὐτῶν πράγματα [5].

44. Ἐάν τις προσφέρῃ κατάθεσιν, τουτέστιν ὁμολογίαν, ἑνὸς μόνου ἀνθρώπου, ἡ τοιαύτη μαρτυρία οὔκ ἐστι δεκτή [6].

(a) *Così il Cod. Forse* συνηγορήσας? *Cf. Proch. Bas. XXVII, 30.* (b) ὁ συνυπεξούσιος] *Parole supplite dal Proch. Bas. XXVII, 35.*

40. Qui defensionem aut executionem in quadam causa sustinuit, in eadem non testatur.

41. Nemo in seipsum testes producere cogitur aut expetitur; sed oportet ut omnis actor allegationes suas probet.

42. Qui alicuius testamentum subscripsit, in testamento testis esse prohibetur.

43. Testis esse prohibetur impubes, servus, surdus, mutus, furiosus, prodigus, filiusfamilias et pater eius, et qui ab alio heres scriptus est, et qui sub eiusdem patris potestate est pro eo, qui in testamento heres scriptus, et (qui in eadem potestate est) cum eo, qui de rebus a se quaesitis testamentum condit.

44. Si quis unius tantum hominis depositionem, h. e. confessionem, profert, huiusmodi testimonium non est recipiendum.

(1) *Proch. Bas.* XXVII, 30: « Ὁ « συνηγορήσας ἢ ἐκβιβάσας ἐν ὑποθέσει « οὐ μαρτυρεῖ ἐν αὐτῇ ».

(2) Cf. *Proch. Bas.* XXVII, 31.

(3) *Proch. Bas.* XXVII, 32: « Κω- « λύεται ἐν διαθήκῃ μαρτυρεῖν ὁ ἐν δια- « θήκῃ τινὸς ὑπογράψας καὶ μὴ ἀνα- « σχόμενος μαρτυρῆσαι » &c. che mancano nel nostro.

(4) *Proch. Bas.* XXVII, 33: « ... υἱὸς « ὑπεξούσιος, ὅτε ὁ πατὴρ αὐτου παρ' ἄλ- « λου γραφῇ κληρονόμος ». Quest' ultima frase è stata travisata dal nostro.

(5) Cf. *Proch. Bas.* XXVII, 34 e 35.

(6) *Proch. Bas.* XXVII, 36: « Ἐάν « τις ἑνὸς ἀνθρώπου κατάθεσιν ἐν ἐκ- « σφραγίσματι προσφέρῃ » &c.

c. 42 c 45. Ὀμνυέτωσαν οἱ μάρτυρες πρὸ τῆς μαρτυρίας, καὶ μάλιστα προσδεχέσθωσαν οἱ τιμιώτεροι. εἰ δὲ μόνος εἷς ἐστιν ὁ μαρτυρῆσαι θέλων, ἀποῤῥιπτέσθω, εἰ καὶ τάχα ὑπάρχει βουλευτής, ὡς φησιν ὁ κ' τίτλος τοῦ κώδικος (1).

46. Γέγραπται (2) ἐν τῷ μωσαϊκῷ νόμῳ· μὴ φονεύσῃς· ἡμῖν δὲ προσέταξεν ὁ κύριος μήτε τὸ σύνολον ὀργισθῆναι ματαίως. καὶ τῷ μὲν

45. Testes, priusquam testimonium ferant, iurent, et honestiores potissime recipiantur. Quod si solus est qui testari vult, reiiciatur, etiamsi curialis sit, ut dicit tit. .xx. Cod.

46. In lege Mosaica scriptum est: « non occides »; nobis vero Dominus praecepit, ne temere omnino irasceremur. Et in Hebraeo-

(1) *Ecl. priv. auct.* XV, 7 e 8: « Πρὸ « τοῦ ἀποϑέσϑαι τὴν εἴδησιν οἱ μάρτυρες « πρὸ τῶν ἁγίων εὐαγγελίων ὀμνυέτωσαν « ὡς ἀληϑῆ μαρτυροῦσιν ἢ ὡς οὐδὲν ἐπί- « σταντται περὶ τοῦ πράγματος. Ἕνα μὴ « προσίεσϑαι μάρτυρα, κἂν συγκλητικός « ἐστιν ». Qui però manca il richiamo al Codice, che si trova nel nostro. Del resto, questo pare abbia avuto presente un' altra versione. Quella della *Synopsis Basilicorum* (ZACHARIAE, *I. G.-R.* V, 482) si accosta di più alla nostra. « Δεῖ τοὺς μάρτυρας πρότερον « ὀμνῦναι πρὶν ἢ μαρτυρήσουσι. δεῖ δὲ « τοῖς τιμιωτέροις μᾶλλον πιστεύειν. ἑνὸς « δὲ μαρτυρία οὐκ ἐστι δεκτὴ ἐν οἱαδήποτε « δίκῃ, κἂν συγκλητικὸς εἴη ». Il luogo citato del Codice è IV, 20, 9. « Iu- « risiurandi religione testes, priusquam « perhibeant testimonium, iamdudum « arctari praecepimus, et ut honestio- « ribus potius fides testibus habeatur. « Simili modo sanximus ut unius testi- « monium nemo iudicum in quacum- « que causa facile patiatur admitti. « Et nunc manifeste sancimus, ut unius « omnino testis responsio non audia- « tur, etiamsi praeclarae curiae honore « praefulgeat ». Non pare che il nostro attingesse direttamente dal testo del Codice; egli dovette aver presente la versione della *Synopsis*, o qualche altra analoga, dove c'era anche il richiamo al titolo 20 del Codice, come se ne incontra spesso nei mss. greci. Cf. *Appendix Eclogae* (del codice Parigino greco 1384, quello che contiene la versione delle leggi longobarde), cap. X, pr. ZACHARIAE, *Ἀνέκ.* p. 187. Vi è anche la citazione del Codice: « ἐκ « τοῦ παλαιοῦ νόμου. περὶ μαρ- « τύρων ἐκ τοῦ κώδικος τοῦ τί- « τλου κ' διάταξις ϑ'. Ὀμνυέ- « τωσαν πρὸ τῆς μαρτυρίας οἱ μάρτυρες, « καὶ μάλιστα οἱ τιμιώτεροι προσδεχέ- « σϑωσαν. ὁ δὲ μόνος μαρτυρῶν ἐκβαλ- « λέσϑω, κἂν τύχῃ ὢν βουλευτής ».

(2) In questo capitolo il nostro riferisce una Novella dell' imperatrice Irene (an. 797-802), pubblicata già dal LEUNCLAVIO, *I. G.-R.* II, 135-138, e poi dallo ZACHARIAE, *I. G.-R.* III, 55-59. Di essa non vi è traccia nelle fonti, che sinora abbiamo visto adoperate dal nostro, il quale dovette desumerla d'altronde. Del resto, si trova in molti manoscritti appartenuti all' Italia meridionale; così nel già citato codice Parigino greco 1384 (c. 180) e nel cod. Marc. 172 (e nel Palat. 55, che n'è una copia), c. 231. Nell'*Epitome ad Proch. mut.* (Bodlej. 3399 e Marc. 579), tit. XXVII, cap. 83, è riferita la fine della medesima

νόμῳ τῶν Ἑβραίων λέγει· μὴ μοιχεύσῃς· ἡμῖν προσέταξεν ὁ κύριος μήτε ἐμβλέψαι εἰς γυναῖκα διὰ τὸ ἐπιθυμῆσαι αὐτήν. ἐκείνοις μέν· μὴ ἐπιορκήσῃς (a)· ἡμῖν δέ· μηδὲ τὸ σύνολον ὀμόσαι (1). περὶ οὗ ἡμῖν αὕτη ἡ πραγματεία καὶ διδαχὴ κατεσκευάσθη (2), διὰ τοῦ ὅρκου γὰρ γεννᾶται ἡ ἐπιορκία, ἥτις ἐστὶν ἄρνησις θεοῦ καὶ ἀποχωρισμός. συνήθεια τοίνυν οὐ καλὴ καὶ τῷ θεῷ βδελυκτὴ ἐκράτησε μέχρι τοῦ νῦν, καί, ἵνα ‖ εἴπωμεν τὴν ἀλήθειαν, οὐ κατὰ τὸν τύπον καὶ νόμον χριστιανῶν (b), c. 42 D
ἀλλὰ τῶν Ἑβραίων, λέγω δὴ τοῦ λύεσθαι δι' ὅρκου τὰς στραγγαλιὰς καὶ τὰς ἀδικίας τῶν φιλονεικιῶν (3). εἰ γὰρ ὁ κύριος Ἰησοῦς Χριστὸς φανερῶς καὶ μεγάλως κελεύει μηδὲ τὸ σύνολον ὀμόσαι, καὶ αὐτὸς μᾶλλον ὁ ἀδελφόθεος Ἰάκωβος παραγγέλλων λέγει· ἀδελφοί μου, μὴ

(a) *Cod.* ἐπιορκίσῃς (b) *Cod.* χρηστιανῶν

rum quidem lege legitur: « adulterium non committes »; nobis autem Dominus praecepit, ne mulierem quidem intueremur ad eam expetendam. Illis vero: « non peierabis »; nobis autem, ne omnino quidem iurandum. Ob id a nobis haec scriptio et doctrina fuit parata; ex iuramento enim periurium gignitur, quod negatio Dei est et separatio ab eo. Consuetudo ergo haud pulchra et Deo minime accepta usque nunc invaluit, non, ut vere dicamus, secundum morem legemque Christianorum, sed Hebraeorum, nempe per iuramentum controversias et iurgia litigantium solvendi. Si igitur Dominus Iesus Christus aperte et diserte iubet non esse omnino iurandum, et ipse potius Dei frater Iacobus monens dicit: « fratres

Novella, la quale, meno il proemio, si trova anche nel *Proch. auct.* XXVII, 300. Vedi ZACHARIAE, loc. cit. nota 1 a p. 55 sg. e *Fragm. vers. graec. leg. Roth.* p. 22, e cf. il mio *Diritto bizantino nell' Italia meridionale*, p. 10, n. 2. Nel *Proch. auct.* (cod. Vat. gr. 856, c. 125 B-126) incomincia: « ἀεσπίζομεν πᾶσαν δίκην « καὶ συμπλοκὴν διὰ μαρτύρων λυομένην » e finisce: « καθῶς καὶ ἕως τοῦ νῦν ἐκρά- « τησεν ἡ συνήθεια ». Farò i confronti col testo dato dallo Zachariae: il nostro ha accorciato alquanto il proemio.

(1) « ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ φο- « νεύσεις· ἡμῖν δὲ καὶ τὰς ἀρχὰς « τῶν ἁμαρτημάτων ἐκκόπτειν « παρακελευόμενος ὁ κύριός φησι, « μήτε ὀργισθῆναι εἰκῇ· ἐκείνοις, οὐ μοι- « χεύσεις· ἡμῖν καὶ μήτε γυναικὶ ἐμβλέψαι « πρὸς τὸ ἐπιθυμῆσαι· ἐκείνοις, οὐκ ἐπιορ- « κήσεις· ἡμῖν δέ, οὐδὲ τὸ ὀμόσαι ὅλως ».

(2) « ἡ παροῦσα πραγ. πεπόνηται ».

(3) « συνήθεια δέ τις οὐ καλὴ καὶ « ἀρεστὴ κυρίῳ, εἰπεῖν δὲ μᾶλλον ὡς τὰ « πολλὰ ἑβραϊκὴ ἕως τοῦ νῦν ἐκρά- « τησε » &c.

ὀμνύετε (a), ὡσαύτως καὶ αὐτοὶ οἱ θειότατοι πατέρες ἡμῶν προστάξαντες (b) παντελῶς ἀπέχεσθαι τοῦ ὅρκου, πῶς ἡμεῖς καταφρονήσαντες τῶν θείων ἐντολῶν καὶ κανόνων ἑβραϊκῇ συνηθείᾳ ζῆν ἐρώμεθα (1); διὰ τοῦτο τῇ δεσποτικῇ νομοθεσίᾳ τὸν αὐχένα τῆς βασιλείας ἡμῶν ὑποκλίνοντες καὶ τὴν μέχρι τοῦ νῦν κρατήσασαν κακὴν συνήθειαν τοῦ ὀμόσαι ἀποπαραιτούμενοι, προστάσσομεν μηκέτι (c) ἐμπολιτεύεσθαι τῇ τῶν ἐνθέων χριστιανῶν πίστει | τὴν μιαρὰν συνήθειαν τοῦ ὅρκου (2). εἰ γὰρ ὁ θεῖος προφήτης διδάσκει· ἐξολοθρευθήσονται οἱ ποιοῦντες τὸν λαόν μου ἐν λόγῳ ἁμαρτάνειν· πῶς οὐ μᾶλλον ἐξαφανισθήσονται οἱ ποιοῦντες τούτους ἐπορκῆσαι (d) (3); μᾶλλον καὶ αὐτὸς ὁ θεόπτης Μωσῆς παντελῶς ἀποτρέπει τὸν ὅρκον, φησὶ γάρ· μὴ ὀμνύσθε (e) τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ. εἰ οὖν συστροφαὶ τοῦ κόσμου τούτου καὶ συμπλοκαὶ

c. 43 a

(a) *Cod.* ἐμνύεται (b) *Cod.* πρὸς στάξαντες (c) *Cod.* μηκέτι (d) *Cod.* ἐπορκίσαι (e) *Cod.* ὀμνύοσι

« mei, ne iuretis »; eodemque modo et ipsi divini patres nostri praecipiunt a iuramento omnino abstinendum; quomodo nos, divinis praeceptis canonibusque posthabitis, hebraicae consuetudini vitam accommodemus? Quam ob rem divinae legi cervicem imperii nostri submittentes et pravam iurandi consuetudinem, quae usque nunc obtinuit, reiicientes, volumus ne misera iuramenti consuetudo amplius piorum christianorum fide recipiatur. Si divinus enim propheta docet: « radicitus exscindantur qui populo meo in « ioquendo peccati causam praebent »; quanto magis eficientur qui peierandi offerunt occasionem? Quin et ipse Deo acceptus Moses iuramentum omnino abiicit; dicit enim: « non iurabis Domini Dei « tui nomen in vanum ». Mundi enim huius conversiones rerumque

(1) Dell'ultima frase non è traccia nel testo della Novella. « τοῦ γὰρ σωτῆρος καὶ τοῦ ἡμῶν ἐνεοῦ χριστοῦ, τοῦ « καὶ τὰ τοιαῦτα διαβεβαιώσαντος, διαβεβαιώσαντος, ὡς ἔστιν, ὡς ἔστιν, οὐ ἐμόσαι « ὅλως· πόσῳ δὲ ἐμόσαι τοῦ θεοῦ « ἀποστόλοι ἐκελεύσθησαν, τῶν τοιούτων ἀπέχεσθαι· οὐ μὴν ἀλλὰ καὶ ὁ ἐμόσας· ὥστε τοίνυν καὶ τῶν ἐνδόξων καὶ ἀλλοκότων ἡμῶν πατέρων ἀκολουθοῦντες καὶ τοιαῦτα παραλείπειν τοῦτο ἔρχεσθαι ἀπέχεσθαι » &c.

(2) Segue immediatamente la Novella: « τοῦτο τοῦ θεοῦ νομοθεσίᾳ τὸν « αὐχένα τοῦ κράτους ἡμῶν ὑποκλίνομεν. « καὶ τὸν παρὰ τοῦτο κατέχοντα παρα- « νομον συνήθειαν ἀποπαραιτούμεθα. τὸν τὸν « λόγῳ εἰδέναι μέτρον τοῦ ἐμπολιτεύειν τῇ « ἡμῶν χριστιανικωτάτῃ πίστει τὸ τοῦ « ἔρκου ἔθος ἐπιλελοιπέναι ».

(3) « εἰ γὰρ ὁ μεγαλεφωνότατος προ- « φήτης βοᾷ..., πόσῳ γε μᾶλλον ἐν « ὅρκῳ; ».

τῶν παρόντων πραγμάτων ἐπὶ ἀδίκῳ καὶ ματαίῳ ὑπάρχουσι, κατὰ τὸν σοφὸν Σολομῶντα· ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης (1). ἡμῖν δέ, οἷς πρόκειται ἔπαθλα (2) ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἡ διαγωγὴ μετὰ τῶν ἀγγέλων, εἰκότως ὑψηλαὶ ὑπάρχουσι καὶ αἱ νομοθεσίαι. δι' ὃ θεσπίζομεν πᾶσαν ‖ δίκην καὶ συμπλοκὴν διὰ μαρτύρων λύεσθαι (a) ἐγγράφως τε καὶ ἀγράφως τελειοῦσθαι καθάπερ διεπιτέτακται (3). ἐπὶ τῆς βασιλίδος τῶν πόλεων (4) μνηστείας, προικῷα, ἐμφυτευτικά, ἐμπερίγραφα παντοῖα, ἀναγραφὰς ὀρφανικῶν πραγμάτων, σύμφωνα ἐφ' ἑκάστῳ πράγματι, διαλύσεις, δωρεάς, πράσεις, ἀγορασίας, δάνεια, παραθήκας, διαθήκας τε καὶ ἐλευθερίας καὶ εἴ τι ἄλλο κεφάλαιον ὑπάρχει ὅμοιον τούτοις, προσκληθέντων ζ' ἢ ε' μαρτύρων, ἐπὶ δὲ διαθηκῶν καὶ ἐλευθεριῶν καὶ μόνον καὶ μέχρις ἐπὶ γ' μαρτύρων ἀξιοπίστων, ἱερέων, ἀρχόντων, στρατευομένων, πλοῦτον ἐχόντων ἢ ἐπιτήδευμα, τουτέστιν ἀξίαν, εὐσεβῶς δηλονότι βιούντων καὶ ἐν εὐλαβείᾳ, ἐπὶ τούτων δὲ τῶν μαρτύρων τὰ c. 43 B

(a) λύεσθαι *è forse da correggere in* λυομένην, *come reca il testo della Novella.*

praesentium perplexitates iniustae et vanae sunt iuxta sapientem Salomonem: « vanitas enim vanitatum, omnia vanitas ». Nobis vero, quibus regnum coelorum et cum angelis conversatio in praemii loco proposita est, recte et leges sublimes sunt. Ob id sancimus ut causa omnis et conventio, quae per testes finitur, in scriptis et absque scriptura perficiatur, prout infra statutum est. In urbium regina sponsalia, dotalia, emphyteutica, comprehensa scriptis omnigena, rerum pupillarium inventaria, contractus de quacumque re, transactiones, donationes, venditiones, emtiones, mutua, deposita, testamenta et libertates et si quod aliud est praeterea caput his simile, arcessitis .VII. aut .V. testibus, in testamentis autem et libertatibus usque ad .III. testes fide dignos, sacerdotibus, in magistratu constitutis, militantibus, facultatem aut professionem, h. e. dignitatem, habentibus, religiose scilicet ac pie

(1) « κατὰ τὸν εἰπόντα σοφὸν σολο- « μῶντα· τὰ πάντα ματαιότης ».

(2) Qui dal nostro sono tralasciate due parole necessarie all'intelligenza del testo: « εὐαγγελικῶς πολιτευομένοις ».

(3) « περατοῦσθαι ὡς ὑποτέτακται ».

(4) La Novella ha: « ἐπὶ μὲν τῆς « βασιλίδος ἡμῶν πόλεως ». L'« ἡμῶν » è scomparso nel nostro.

c. 43 c συναλλάγματα (a) καὶ (b) τὰ σύμφωνα πάντα γίνεσθαι θεσπίζομεν (1). καὶ εἰ μὲν δύναται ὁ ποιῶν τὸ ἔγγραφον δι' ἑαυτοῦ γράφαι, ἐκεῖνος γραφέτω τὸ πᾶν, ὑπογραφόντων καὶ τῶν μαρτύρων· ἄνευ τῶν προκειμένων συμβολαίων (2) καὶ ἐμπεριγράφων παντοίων· ἐν ἐκείναις γραφέτωσαν οἱ ταβουλάριοι καὶ οἱ νομικοὶ καὶ οἱ (c) μάρτυρες, κατὰ τὸ ἔθος, τοιούτων μαρτύρων ὑπογραφόντων ἐν αὐτοῖς οἵους προέφημεν (d). τούτων δὲ οὕτως πραττομένων, ὁσάκις ἂν φιλονεικία γένηται ἐξ οἱουδήποτε μέρους, θεσπίζομεν προσάγεσθαι τοὺς μάρτυρας καὶ τὰ ἔγγραφα, καὶ ἐρωτᾶσθαι αὐτοὺς περὶ τῶν ἐγγράφων, ἐὰν ἀληθινά εἰσι, καί, ἐὰν οἱ μάρτυρες οὐκ ἐναντιωθῶσι (3), μάρτυρα ἐπικαλούμενοι τὸν θεὸν καὶ λέγοντες ἀληθινὰ εἶναι τὰ προκομισθέντα ἔγγραφα, ἀποπαύεσθαι τὴν δίκην. καὶ κελεύομεν
c. 43 d ἵνα ζημιωθῇ | τὸ ἐγκείμενον πρόστιμον τῷ ἐγγράφῳ ὁ τὴν ἀγωγὴν ποιησάμενος παρὰ τοῦ δικαστοῦ καὶ ἵνα δώσῃ (e) τοῦτο τῷ διαδίκῳ αὐτοῦ. εἰ δὲ ἡ ἀγωγὴ γένηται μετὰ τὴν τελευτὴν τῶν μαρτύρων, οἷς περιλαμβάνει ὁ προκομιζόμενος χάρτης, καὶ οὕτως κελεύομεν ἀποπαύεσθαι τὴν δίκην

(a) *Cod.* συνα λάγματα (b) καὶ] *È omesso nel Cod.* (c) καὶ οἱ] *Parole omesse dal Cod.* (d) προέφημεν] *Così il Cod.* (e) *Cod.* δώσι

viventibus, coram his testibus contractus (et) conventiones omnes celebrari iubemus. Et si qui scripturam conficit per se ipsum quidem scribere potest, rem totam ille scribat subscribentibus et testibus; exceptis dotalibus instrumentis et quibuscumque aliis per scripturam conficiendis; in illis tabularii et legum periti (et) testes secundum morem scribant, eiusmodi testibus subscribentibus in iis, quales praediximus. His ita peractis, quotiescumque contentio ex quacumque parte oriatur, testes et scripturas adduci eosque super scriptis interrogari iubemus, an vera sint; et, cum testes sibi non contradicant, Deum testem invocantes et allatas scripturas veras esse dicentes, liti finem imponi. Et sancimus ut is, qui actionem instituit, poena scripturae inserta a iudice damnetur, adversario eius adiudicanda. Sin vero actio intendatur post mortuos testes, quos charta quae producitur continet, eodem quoque modo absque in-

(1) « ἐπὶ αὐτῶν τά τε συναλλάγματα ... πρείχεσθαι ».
(2) Questa parola manca nella Novella.
(3) « ἐὰν (οἱ μάρτυρες) συμφωνήσωσι ».

ἄνευ ζητήσεως (1). εἰ δὲ ὑπάρχει ἀγράμματος ὁ ἀπαιτούμενος ποιῆσαι τὸ ἔγγραφον, ἢ ἀπὸ πάθους τινὸς οὐ δύναται οἰκείᾳ χειρὶ γράφειν, θεσπίζομεν προτάσσειν αὐτὸν τὸ σίγνον τοῦ τιμίου σταυροῦ (2), καὶ τὰ λοιπὰ γράφεσθαι διὰ ταβουλαρίου ἢ νομικοῦ ἢ καὶ ἑτέρου χειροχρήστου· καὶ εἰ μὲν ἔσται εἰς ἀναγκαῖον τοῦ ὑπογράψαι τοὺς μάρτυρας, θεσπίζομεν ἵνα ὑπογράψωσιν ἰδιοχείρως (3), εἴγε γινώσκουσιν, εἰ δὲ μήγε, φανεροῦσθαι αὐτοὺς διὰ τῆς σημειώσεως τῶν ὀνομάτων αὐτῶν. τὰ δὲ ἐγγράφως πραττόμενα συναλλάγματα ‖ γενέσθαι ὡς προεθεσπίσαμεν (4). c. 44 A
καὶ ὅταν συμβῇ φιλονεικίαν γενέσθαι παρ' οἱουδήποτε μέρους, ἐπιζητεῖσθαι τοὺς εὑρεθέντας μάρτυρας (a)· καὶ ἐὰν οἱ μάρτυρες συμφωνήσωσι τῷ ἐνάγοντι, ἀνακρινόμενοι καὶ ἐξεταζόμενοι δὶς καὶ τρὶς (b) παρὰ (c) τῶν δικαστῶν, ποιείτωσαν (d) ἔγγραφα ἐξ οἰκείας γραφῆς (5) καὶ τιθέτωσαν αὐτὰ ἐπ' ἐκκλησίας. εἰ δὲ ἀγράμματοί εἰσι, ποιείτωσαν (e) τοὺς τιμίους

(a) καὶ ὅταν - μάρτυρας] *Parole mancanti nel Cod. e supplite dalla Novella.*
(b) *Cod.* τρεῖσ (c) *Cod.* περὶ (d) *Cod.* ποιήτωσαν (e) *Cod.* ποιήτωσαν

quisitione litem finiri iubemus. Quod si litteras ignorat is, a quo scripturam confici petitur, aut ex aliquo morbo scribere manu propria non potest, volumus ut ipse signum venerabilis crucis praeponat, et reliqua a tabulario, aut a legis perito, aut ab alio amanuensi in scriptum redigantur; et si quidem necessarium est, ut testes subscribant, sancimus, ut propria manu subscribant, si noverint, quod si non, indicentur per adnotationem nominum ipsorum. Contractus autem, qui in scriptis conficiuntur, prout antea statuimus, fiant. (Et ubi contigerit, ut controversia a quacumque parte moveatur, inventi testes requirantur,) et si testes cum actore consenserint, bis terve a iudicibus examinati et interrogati, manu sua scripturas conficiant ipsasque in ecclesia reponant. Quod si litteras ignorant, venerabiles cruces faciant, et reliqua ab amanuensibus conscribantur, continentia ad verbum quae sequuntur: « Hic

(1) « εἰ δὲ μετὰ τελευτὴν τῶν ἐν τῷ « προκομιζομένῳ χάρτῃ μαρτύρων ἡ ἀγω- « γὴ τῆς δίκης γένηται ».

(2) « προτάσσειν αὐτὸν τὸν τίμιον « σταυρόν ». La frase del nostro: « τὸ « σίγνον τ. τιμίου στ. » si trova in tutte le carte greche dell' Italia meridionale pubblicate dal TRINCHERA, *Syllab.*

(3) « γενέσθω οὕτως ».

(4) Qui la Novella ripete quello che ha già detto.

(5) « ἐξ ἰδιοχείρου ».

σταυρούς, καὶ τὰ λοιπὰ γραφέτωσαν διὰ χειροχρήστων, περιέχοντα ἐπὶ λέξεως οὕτως· « ὁ δεῖνα καὶ ὁ δεῖνα, καὶ τὰ ἐπιτηδεύματα αὐτῶν καὶ τὰ ἀξιώματα. μάρτυς κύριος ὁ θεὸς καὶ ὁ ἱερὸς τόπος, ἐν ᾧ ἐστήκαμεν καὶ τὰ ἔγγραφα προάγομεν (a), ἀλήθειαν ἐμαρτυρήσαμεν, καὶ οὐκ ἐψευσάμεθα ἔν τινι λόγῳ, καὶ μετὰ ταύτης ἡμῶν τῆς μαρτυρίας στησόμεθα τῷ φοβερῷ βήματι Χριστοῦ τοῦ θεοῦ ἡμῶν· ἀποδοθείη καὶ ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν ἐν τῷ νῦν αἰῶνι (1) ἡ ἀντάμειψις κατὰ τὴν μαρτυρίαν
c. 44 B ἡμῶν. εἰ δέ ποτε καιρῷ ἢ χρόνῳ ‖ ἀποδειχθῶμεν ψευδομάρτυρες, ἵνα ἀποκαθιστήσωμεν καὶ ἀποδώσωμεν τῷ ζημιωθέντι τὴν ζημίαν πᾶσαν ἣν ὑπέστη διὰ τὴν μαρτυρίαν ἡμῶν, καὶ μετὰ ταῦτα ἵνα ὑποστήσωμεν τὴν ποινὴν τῶν ψευδομαρτύρων, τουτέστι τὰς γλώσσας τέμνεσθαι, καὶ γὰρ ἡ παροιμία φησί· μάρτυς ἄδικος οὐκ ἀτιμώρητος ἔσται κακῶν » (2). ἐὰν δὲ διαφωνήσωσιν οἱ μάρτυρες καὶ οὐ μαρτυρήσωσι τὸ ἕν, ἢ καὶ τὰ ἀμφότερα μέρη προάγουσι (b) τοὺς μάρτυρας, ἐκλογὴν γενέσθαι θεσπίζομεν τῶν μαρτύρων παρὰ τοῦ δικάζοντος, καὶ οἵτινές εἰσι πλείονες καὶ

(a) *Cod.* πρ|ἀγῶμεν (b) *Cf. cap. 29.*

« et ille, dignitates eorum et officia. Testis Dominus Deus et locus « sacer, in quo consistimus et scripturas inducimus, veritatem testati « nec in aliquo mentiti sumus; et cum nostro hoc testimonio ad « formidabile tribunal Christi Dei nostri statuemur; nobis et liberis « nostris in hoc saeculo retributio concedatur secundum testimonium « nostrum. Quod si ullo unquam tempore aut occasione probatum « fuerit nos falsos esse testes, omne damnum praestabimus et red- « demus ei, qui damno propter testimonium nostrum affectus est, « posteaque falsorum testium poenae, h. e. linguae rescissioni, subii- « ciemur; proverbium enim dicit: testis iniustus non impunitus erit « a rebus adversis ». Sin autem dissenserint testes neque eamdem rem testentur, aut si utraque pars testes produxerit, statuimus ut testium delectus a iudice fiat, et qui plures et fide digniores sunt, propria manu, uti dictum est, scripturas conficiant et lis finiatur.

(1) La Novella aggiunge: « καὶ ἐν « τῷ μέλλοντι ».

(2) « ἐὰν δέ ποτε..., τὴν διὰ τῆς « μαρτυρίας ἡμῶν γενομένην ζημίαν ἀπο- « καθιστᾶν ἡμᾶς τῷ ζημιωθέντι, καὶ εἶθ' « οὕτως ὑποκεῖσθαι ἡμᾶς τῇ τῶν ψευδο- « μαρτύρων ποινῇ, κατὰ τὸ παροιμιακῶς « γεγραμμένον ».

ἀξιοπιστότεροι ποιείτωσαν[a], ὡς εἴρηται, ἰδιόχειρα καὶ περατούσθω ἡ δίκη. ταῦτα κρατείτωσαν[b] παὶ φυλαχθήτωσαν καὶ ἐν ταῖς ἔξω ἐπαρχίαις. ἀλλ' οὖν θεσπίζομεν λύεσθαι τὰς φιλονεικίας[c] χωρὶς τῶν ὡρισμένων κατὰ τοῦτον τὸν τρόπον, ‖ ἵνα ἀχθῶσι τὰ ἄχραντα τοῦ θεοῦ εὐαγγέλια, ἢ τοῦ τιμίου σταυροῦ προαχθέντος, περὶ[d] τῶν διοριζόντων μαρτύρων, καθὼς μέχρι τοῦ νῦν ἐκράτησεν ἡ συνήθεια, ἀλλ' ὄμως ἵνα μὴ ὀμνύσωσι, ἀλλ' ἵνα ποιήσωσι δυνατὰ ἔγγραφα, καθὼς καὶ προείρηται[1]. c. 44 c

Τίτλος κδ.

Περὶ χειροτονίας ἐπισκόπων καὶ πρεσβυτέρων.

1. Οἱ πρῶτοι κληρικοὶ τῆς πόλεως ποιείτωσαν[e] τὸ ψήφισμα[f] τῶν προσώπων, προκειμένων τῶν ἁγίων εὐαγγελίων, οἵτινες καὶ μέλλουσιν ὀμόσαι, ὡς οὔτε διὰ τὴν[g] δωρεὰν καὶ δόσιν οὔτε δι' ἄλλην τινὰ

(a) *Cod.* ποιήτωσαν (b) *Cod.* κρατήτωσαν (c) *Cod.* φιλονικίας (d) *Così il Cod.* (e) *Cod.* ποιήτωσαν (f) *Cod.* ψήφ̈ησμα *con* ̈η *corretto in* ι *da la seconda mano.* (g) *Cod.* τ̅η̅ν̅ *cioè* τὴν *espunto.*

Haec valeant et serventur etiam in provinciis. At sancimus, ut controversiae praeter statutas hoc modo terminentur, nempe, immaculatis Dei evangeliis aut venerabili cruce adportatis, per testes definientes, prout hactenus consuetudo obtinuit, his nimirum non iurantibus sed idoneas scripturas, prout et antea dictum est, conficientibus.

Titulus XXIV.

De ordinatione episcoporum et presbyterorum.

1. Primi clerici civitatis suffragium de personis ferant, praepositis sanctis evangeliis; ipsique iurare debent se neque ob donum et munus neque ob aliam affectionem eos ad presbyterorum aut

(1) « ταῦτα κρατείτωσαν καὶ ἐν ταῖς « ἔξω πόλεσι καὶ ἐπαρχίαις· ἄνευ μέντοι « τῶν ὁροθεσίων. ταύτας γὰρ τὰς φίλο- « νεικίας θεσπίζομεν λύεσθαι » &c. Il nostro pare non abbia inteso le parole: « ἄνευ μέντοι τῶν ὁροθεσίων ».

προσπάθειαν ἐπελέξαντο αὐτοὺς διὰ τὸ γενέσθαι ἐπισκόπους ἢ πρεσβυτέρους, ἀλλ' ὡς εἰδότες αὐτοὺς ὄντας τῆς καθολικῆς ἐκκλησίας καὶ σεμνοῦ βίου, καὶ ὑπὲρ τὰ λ' ἔτη, καὶ ὡς οὔτε γαμετὴν οὔτε παῖδας
c. 44 D ἔχοντας τοὺς γενέσθαι ἐπισκόπους βουλομένους, ἀλλ' ὅμως εἰ καὶ ἔσχον γαμετήν, ἀλλὰ μίαν μόνην ἐκ παρθενείας, καὶ οὐ χήραν (a) οὔτε διαζευχθεῖσαν ἀνδρός, ἀλλὰ τοιαύτην γαμετὴν ἔσχον, οἵαν ὁμοικελεύουσιν (b) (1).

2. Ἐὰν χειροτονηθῇ τις ἐπίσκοπος, μέλλει δοῦναι πρὸ τῶν ἄλλων πραγμάτων λίβελλον, τουτέστιν ἔγγραφον, τῆς ὀρθῆς πίστεως καὶ ἐπαγγεῖλαι τὰς εὐχάς, καὶ μετὰ ταῦτα μέλλει ὀμόσαι, ὅτι οὐκ ἔδωκέ τινι ἀνθρώπῳ τί ποτε περὶ ταύτης τῆς ὑποθέσεως, οὔτε ἐπήγγειλε (c) δοῦναί τι ὑπὲρ τῆς χειροτονίας· εἰ δὲ γένηται παρὰ τὰ εἰρημένα, τότε καὶ ὁ γινόμενος ἐπίσκοπος καὶ ὁ χειροτονήσας αὐτὸν ἐκβάλλονται ἀπὸ τῆς ἐκκλησίας (2). ἐὰν δὲ ὁ κατήγορος παρὼν μὴ δείξῃ ἃ διεβεβαιώσατο, ἢ

(a) *Cod.* χῆρας (b) *Così il Cod.* (c) *Cod.* ἐπίγγειλε

episcoporum dignitatem elegisse, sed quod scirent eos esse catholicae Ecclesiae et honestae vitae, et maiores .xxx. annis neque uxorem aut liberos habuisse, qui episcopi fieri volebant, vel etiam, si uxorem habuerint, unam tantum a virginitate, nec viduam aut a marito separatam, sed talem habuisse uxorem, qualem (leges et canones) concorditer consentiunt.

2. Si quis episcopus ordinatur, ante omnia libellum, h. e. scripturam, rectae fidei exhibere debet precesque adnuntiare et deinde iurare se nihil unquam cuiquam dedisse hac de causa nec pro ordinatione dare promisisse; si quid autem praeter dicta factum fuerit, tunc et episcopus et qui eum ordinavit Ecclesia eiiciuntur. Quod si accusator praesens quae affirmavit non probet, aut absit,

(1) *Proch. Bas.* XXVIII, 1: « Οἱ « κληρικοὶ καὶ οἱ πρῶτοι τῆς πόλεως, « προκειμένων τῶν ἁγίων εὐαγγελίων, « ἐπὶ τρισὶ προσώποις τὸ ψήφισμα ποι- « είτωσαν τῶν ἐπισκόπων, ὀμνύοντες « ὡς... καὶ οὐ χήραν οὐδὲ διαζευχθεῖσαν « ἀνδρός, ἀλλὰ καὶ τοῖς κανόσιν ἢ τοῖς « νόμοις μὴ ἀπηγορευμένην ».

(2) *Proch. Bas.* XXVIII, 2: « Ὁ χει- « ροτονούμενος ἐπίσκοπος λίβελλον πρῶ- « τον διδότω τῆς ἰδίας πίστεως, καὶ ἐπαγ- « γελλέτω... καὶ ὀμνυέτω μηδὲν δοῦναι « μήτε μὴν ἐπαγγέλλεσθαι παρασχεῖν « τινι ὑπὲρ τῆς χειροτονίας » &c.

ἀπολειφθῇ [a], εἰ μὲν κληρικὸς ὑπάρχει, ἐκβάλλεται ἀπὸ τῆς ἐκκλησίας, εἰ δὲ λαϊκὸς εἴη, πρεπόντως σωφρονιζέσθω [1].

Τίτλος κε. c. 45 A

Περὶ κωδικέλλου.

1. Τί ἐστι κωδίκελλος; κωδίκελλός ἐστιν ἀναπλήρωσις τῆς ἐλλειποῦς διαθήκης, κατὰ τὴν γνώμην τοῦ ποιήσαντος τὴν διαθήκην [2].

2. Αὕτη ὑπάρχει ἡ διαφορὰ τῆς διαθήκης καὶ τοῦ κωδικέλλου, ὅτι ἐν μὲν [b] τῇ διαθήκῃ ἀνάγκη ὑπάρχει ἵνα γραφῇ ὁ κληρονόμος ἢ ὁ ἀποκληρονόμος, τὰ λιγάτα καὶ ἐλευθερίαι, ἔνστατον καὶ [c] ὑποκατάστατον· ἐν δὲ τῷ κωδικέλλῳ οὐδὲν τούτων ἀνάγκη γράφεσθαι, οὔτε κληρονόμος ἐκεῖ δηλοῦται οὔτε ἀπόκληρος, οὔτε ἔνστατος οὔτε ὑποκατάστατος [3]. ἔνστασίς ἐστιν ἡ πρώτη θέσις τῆς κληρονομίας, τουτέστιν

(a) *Cod.* ἀπὸληφθῆ (b) *Cod.* ἐν μὲν ἐν (c) *Cod.* καὶ ἀπὸ

si clericus est, ecclesia expellitur, si vero laicus, competenter castigatur.

Titulus XXV.

De codicillo.

1. Quid est codicillus? Codicillus est imperfecti testamenti suppletio, iuxta sententiam illius qui testamentum facit.

2. Testamenti et codicilli differentia haec est, quod in testamento quidem necesse est, ut heres aut exheres, legata et libertates, institutio et substitutio scribantur; in codicillo autem non oportet ut aliquid horum scribatur, neque heres inibi declaratur neque exheres, neque institutus neque substitutus. Institutio est

(1) Cf. *Proch. Bas.* XXXVIII, 4. Il capitolo 3 è tralasciato nel nostro, sebbene sia necessario all' intelligenza dell' ultimo.

(2) *Proch. Bas.* XXIX, 1: « Κωδίκελλός ἐστιν ἐλλιποῦς ἐν διαθήκῃ γνώμης τοῦ διατιθεμένου ἀναπλήρωσις ». Si noti anche qui la forma interrogativa usata dal nostro, come già nel titolo XVII, 1.

(3) *Proch. Bas.* XXIX, 2: « Διαφορὰ δὲ κωδικέλλου καὶ διαθήκης, ὅτι ἐν μὲν

ὁ φύσει πρῶτος βαθμὸς τῶν κληρονόμων (1). ὑποκατάστασίς ἐστιν ἡ ἐξ ἀποτυχίας γινομένη μετάθεσις τῆς κληρονομίας ἀπὸ τοῦ πρώτου
c. 45 a κληρονόμου ἐπὶ ἕτερον ἐκ διορισμοῦ τοῦ διαθεμένου. οἷον, ὡς εἴ τις εἴποι· ἔστω μου ὁ Πέτρος κληρονόμος, εἰ δὲ μή, ἔστω ὁ Παῦλος (2).

3. Κωδικέλλος ἐστὶν ἔγγραφος βούλησις καὶ ἐσχάτη πάντων τῶν θελημάτων τοῦ διαθεμένου ἐπί τισι προσώποις καὶ πράγμασιν, ὧν καὶ ἐν τῇ διαθήκῃ ἐμνημόνευσεν ὁ διαθέμενος, ἢ δυνάμενος (a) μνημονευθῆναι, ἄνευ τῶν προγεγραμμένων αἰτιῶν. δύναταί τις ἐν κωδικέλλῳ γράφειν φιδικόμισσον, τουτέστι τὸ ἐν τῇ πίστει καταλιμπανόμενον καὶ παρατιθέμενον· οἱ μὲν γὰρ λατῖνοι φίδες, ἡμεῖς δὲ πίστις λέγομεν, κομμίττω μὲν ἐκεῖνοι λέγουσιν, ἡμεῖς δὲ παρατίθημι φαμέν· ὡς οὕτως καὶ φιδικομισσάριον καὶ λιγάτα καὶ λιγατάριον δύναταί τις ποιῆσαι ἐν
c. 45 c κωδικέλλῳ, | οὐ μὴν ἔνστατον καὶ κληρονόμον καὶ ἀπόκληρον (3).

(a) Così il Cod.; ma forse e da correggere δυναμένης. Cf. *Epanag.* XXIX, 20.

prima hereditatis positio, h. e. primus natura gradus heredum. Substitutio est hereditatis translatio ob defectum a primo herede ad alium ex testatoris praescriptione; veluti si quis dicat: « Petrus « heres meus esto, si non, Paulus esto ».

3. Codicillus est voluntas scripta et extrema omnium testatoris voluntatum de personis et rebus iis, quorum et in testamento testator mentionem fecerit vel facere potuit, exceptis causis praedictis. In codicillo quisquam scribere potest fideicommissum, h. e. quod in fide relictum et depositum est: Latini enim « fides », nos autem « πίστις » dicimus; illi « committo » dicunt, nos vero « παρατίθημι »; itidemque et fideicommissarium (heredem) et legata et legatarium quisque in codicillo facere potest, non sane institutum et heredem et exheredem.

« τῇ διαθήκῃ καὶ κληρονόμον καὶ ἀπο- « κληρονόμον ἔξεστι γράφειν, καὶ λιγάτα « καὶ ἐλευθερίας, καὶ ἔνστατον καὶ ὑπο- « κατάστατον, ἐν δὲ τῷ κωδικέλλῳ οὔτε « κληρονόμον οὔτε ἀποκληρονόμον, οὔτε « ἔνστατον οὔτε ὑποκατάστατον ».

(1) Cf. *Proch. Bas.* XXIX, 3.

(2) *Proch. Bas.* XXIX, 4: « ... οἷον « ὡς εἴ τις εἴποι· ἔστω μοι ὁ δεῖνα κλη- « ρονόμος. εἰ δὲ μή, ἔστω ὁ δεῖνα ». I nomi Pietro e Paolo, messi dal nostro in questo esempio, non si trovano nè nel *Proch. Bas.* nè nell' *Epanag.* XXIX, 22.

(3) Questo capitolo è speciale dell' *Epanag.* XXIX, 20: « Κωδικέλλος ἐστὶν

4. Ἐάν τις ποιήσῃ κωδικέλλους, οὐ δύναται εἰπεῖν· ὁ δεῖνα ἔστω κληρονόμος μου, ἢ υἱός μου ἔστω ἀπόκληρος· ἵνα μὴ γένηταί τις σύγχυσις μεταξὺ τῆς διαθήκης καὶ τῶν κωδικέλλων· ταῦτα γὰρ ἐν μόναις ταῖς διαθήκαις γίνεται, ὥστε οὔτε ἀπόκληρον οὔτε κληρονόμον δύναταί τις γράφειν ἐν κωδικέλλω. ἐπὶ τοσοῦτον δὲ ὁ εἰρημένος κανὼν (a) ἰσχύει, καθ' ὃ (b) ἐγὼ ἂν γράψω τὸν δεῖνα κληρονόμον μου ἀόριστον, τουτέστιν ἵνα μὴ φανερώσω εἴς τι, ἀλλ' ἁπλῶς εἴπω κληρονόμον, οὐ δύναμαι ἐν τῷ κωδικέλλῳ αἵρεσιν αὐτῷ προστιθέναι καὶ λέγειν· ἔστω κληρονόμος οὗτος ἂν ἔλθῃ ἀπὸ τῶν Ἱεροσολύμων. εἰ γὰρ δεξόμεθα τὴν αἵρεσιν, ὡς μὴ δύναμις αὐτῆς γενέσθαι καὶ παντελῶς μὴ πληρουμένης, εὑρίσκεται ‖ ὁ διατιθέμενος ἀφαιρῶν καὶ λαβὼν τὴν κληρονομίαν c. 45 D
τοῦ δεῖνος διὰ τῆς αἱρέσεως τῆς δεδομένης ἐν τῷ κωδικέλλῳ. ἀλλ' οὐδὲ τῷ γραφέντι κληρονόμῳ ἐν τῇ διαθήκῃ δυνατὸν ὑπάρχει ποιῆσαι ἀπο-

(a) κανὼν] *Manca questa parola nel Cod. Cf. Teofilo, Parafrasi, II, 25, 2.*
(b) *Cod.* ἰσχύϊ καθ' ὃν ὁ

4. Si quis codicillos fecerit, dicere non potest: « ille meus heres « esto; filius meus exheres esto », ne confusio aliqua inter testamentum et codicillos oriatur; haec enim tantum in testamentis fiunt, ita ut nemo exheredare aut heredem in codicillo instituere potest. In tantum autem dicta (regula) obtinet, ut si heredem meum illum sine conditione scripserim, h. e., si nil aliud adiiciens simpliciter heredem dicam, in codicillo conditionem ei adiicere non possum dicens: « hic heres esto, si Hierosolymis revertatur ». Si enim conditionem reciperemus, ea deficiente et omnino non impleta, invenitur testator per conditionem codicillo appositam auferre et adimere illius hereditatem. Sed neque heredi testamento inscripto

« ἔγγραφος βούλησις τελευταία ἐπί τισι « προσώποις καὶ πράγμασι τοῖς καὶ « ἐν διαθήκῃ ἢ μνημονευθεῖσιν, « ἢ μνημονευθῆναι δυναμένοις, « πλὴν καὶ κληρονόμου ἐνστάτου « καὶ ἀποκλήρου καὶ κληρονομίας, « οἷς καὶ διαφέρει τῆς διαθήκης « ὁ κωδίκελλος. δύναται γάρ τις « ἐν κωδικέλλῳ φιδικομμισσάριον γράφειν « κληρονόμον καὶ λεγάτον καὶ λεγατάριον, « ἀλλὰ καὶ ὑποκατάστατον δύ- « ναται ποιεῖσθαι ἐν κωδικέλ- « λῳ (?), οὐ μὴν ἔνστατον κληρονόμον « οὐδὲ ἀπόκληρον, οὐδὲ κληρονομίαν ». Il nostro ha tralasciato tutto ciò ch'era già detto secondo il *Proch. Bas.*

κατάστασιν ἐν τῷ κωδικέλλῳ καὶ λέγειν τὸ ὄνομα· ὁ δεῖνα, ὃν ἐν τῇ διαθήκῃ ἐποίησα κληρονόμον μου, μὴ ἔστω μου κληρονόμος (1).

5. Καὶ ἕνα κωδίκελλον καὶ πολλοὺς καλῶς δυνάμεθα ποιῆσαι, ἐὰν θέλωμεν (2).

6. Ἐάν τις πτωχὸς ὑπάρχων ἐποίησε διαθήκην καὶ οὐδεμίαν ἐλευθερίαν ἐποίησεν ἐν αὐτῇ, ὥστε ἄπορος ὑπῆρχεν ὅτε ταύτην ἐποίησε, δύναται μετὰ ταῦτα ἐν κωδικέλλῳ ἐλευθερίαν δοῦναι, ἐὰν ἐν τῷ μεταξὺ δούλους ὑπεκτήσατο (3).

licet substitutionem in codicillo facere et nomen ostendere: « ille, quem testamento heredem meum feci, heres meus non « esto ».

5. Et unum et plures codicillos recte, si volumus, facere possumus.

6. Si quis, dum solvendo non esset, testamentum fecerit et nullam in eo libertatem dederit, cum solvendo non esset quando testamentum fecit, in codicillo postea libertatem dare potest, si interim servos acquisierit.

(1) Questo capitolo si trova nella *Parafrasi greca* delle *Istituzioni* attribuita a TEOFILO, II, 25, 2: « Ἔστι « δὲ γενικὸς κανὼν ὁ λέγων »· « *Codicillis hereditas neque dari neque* « *adimi potest,* « τουτέστιν οὐ δύναμαι « codicillus ποιῶν λέγειν· « Ὁ δεῖνά « μου ἔστω κληρονόμος· ἤγουν γράφειν· « Ὁ υἱός μου ἔστω exherédatos », ἵνα « μή τις σύγχυσις γένηται μεταξὺ διαθήκης καὶ codicillu, καὶ εἴησαν ἀδιάκριτοι· ταῦτα γὰρ ἐν διαθήκῃ γένονται. « ὥστε οὖν, ὡς εἴρηται, οὔτε exheredateúein, οὔτε γράφειν κληρονόμον δυνατὸν ἐν codicíllῳ, fideicommissarían « δὲ κληρονομίαν δυνατὸν καταλιμπάνειν. « ἐπὶ τοσοῦτον δὲ ὁ εἰρημένος κανὼν ἰσχύει « ὅτι ἐὰν γράψω Prímon κληρονόμον « púrωs, οὐ δύναμαι ἐν codicíllῳ αἵρεσιν « αὐτῷ προστιθέναι καὶ λέγειν· ἔστω μου « κληρονόμος, *si navis ex Asia venerit* »· « ἐὰν γὰρ δεξώμεθα τὴν αἵρεσιν, ἀτονησάσης αὐτῆς, εὑρίσκεται ὁ testátωr διὰ « τῆς ἐν codicíllῳ διδομένης αἱρέσεως « ἀφαιρῶν τοῦ Prímu τὴν κληρονομίαν. « ἀλλ' οὐδὲ τῷ γραφέντι κληρονόμῳ ἐν τῇ « διαθήκῃ δυνατὸν diréctωs ὑποκαθιστᾶν « ἐν codicíllῳ καὶ λέγειν· ἐὰν ὁ Prímos, « ὃν ἐν τῇ διαθήκῃ ἐνεστησάμην μὴ γένηταί μου κληρονόμος, ἔστω μου Secúndos κληρονόμος ». Ho citato secondo l'edizione del FERRINI, Berolini, 1884, p. 253 sg. A proposito dell'esempio del nostro, nel quale è ricordata Gerusalemme, cf. la mia *Notizia del Proch. leg.* nei *Rendic della R. Accad. dei Lincei,* classe di scienze mor. 21 giugno '85, p. 512.

(2) *Epanag.* XXIX, 23: « Καὶ ἕνα « καὶ πολλοὺς συγχωρούμεθα ποιεῖν κωδικέλλους ».

(3) *Epanag.* XXIX, 24: « Ὁ εὔπορος « ἐλευθεροῖ δούλους ἐν κωδικέλλῳ, εἰ καὶ « ἐν τῷ διατίθεσθαι ἄπορος ἦν ». Si noti come il nostro spiega questo capitolo.

7. Ὁ ἔχων δύναμιν ποιῆσαι διαθήκην δύναται ποιῆσαι καὶ κωδικέλλους (1).

8. Ἐάν τις ληγατεύσῃ τι πρᾶγμα τῷ δούλῳ αὐτοῦ καὶ ‖ μετὰ ταῦτα ἐλευθερώσῃ αὐτὸν ἐν τῷ κωδικέλλῳ, καὶ τὰ ἀμφότερα δύνανται (2). c. 46 A

9. Ἐάν τις γράψῃ ἐπιστολὴν ἀπαγγειλάμενος ἐν αὐτῇ ποιῆσαί με κληρονόμον αὐτοῦ, ἢ φανερώσῃ ἐν αὐτῇ τὴν διάθεσιν καὶ τὸ θέλημα αὐτοῦ, αὕτη ἡ ἐπιστολὴ οὐκ ἔχει δύναμιν κωδικέλλου (3).

10. Ἐάν τις ποιήσει (a) διαφόρους καὶ πολλοὺς κωδικέλλους ἐν διαφόροις χρόνοις καὶ καιροῖς, καὶ οὗτοι οἱ κωδίκελλοι ἐναντιοῦνται ἀλλήλοις, ὁ τελευταῖος καὶ ἔσχατος πάντων τῶν κωδικέλλων ἰσχυρότερός ἐστιν (4).

11. Οὐκ ἔστι τὸ αὐτὸ ὁ κωδίκελλος καὶ ἡ διαθήκη, ἐπεὶ καὶ διάφορος καὶ διαχωρισμένη ἐστὶ τῶν ἀμφοτέρων ἡ ὀνομασία· ὥστε οὔν οὔτε ἔνστασις οὔτε ὑποκατάστασις καταλιμπάνεται ἐν κωδικέλλῳ (5).

(a) *Così il Cod. Cf. XXIII, 17.*

7. Qui testamenti factionem habet, et codicillos facere potest.

8. Si quis servo suo aliquid legaverit et deinde eum in codicillo manumiserit, utraque res valet.

9. Si quis litteram scripserit, nuntians in ea me heredem suum instituisse, aut animi affectum voluntatemque suam in ea patefecerit, huiusmodi epistola codicilli vim non obtinet.

10. Si quis plures ac diversos codicillos diversis temporibus occasionibusque ordinaverit, ipsique codicilli sibi contradicant, perfectus et ultimus inter codicillos validior est.

11. Codicillus et testamentum non idem sunt, cum et diversum ac distinctum nomen amborum sit; ita ut neque institutio ne-

(1) Cf. *Epanag.* XXIX, 25.

(2) Cf. *Epanag.* XXIX, 26.

(3) *Epanag.* XXIX, 27: « Οὐκ ἔχει « δύναμιν κωδικέλλου ἡ ἐπιστολή, ἣν ἂν « γράψαιτό τις ἐπαγγειλάμενος ποιεῖν με « κληρονόμον ἢ φανερῶν τὴν διάθεσιν « αὐτοῦ ».

(4) Cf. *Epanag.* XXIX, 28.

(5) Cf. uno « σχόλιον » all'*Epanag.* XXIX, 20 (pr. ZACHARIAE, p. 167 sg.): « τὸ μὲν ς' βι. τοῦ κώδ. [Cod. VI, 36, 7] « οὔτε κληρονόμον οὔτε ἀπόκληρον οὔτε « ἔνστατον οὔτε ὑποκατάστατον ἐν κωδι- « κέλλῳ φησὶ δύνασθαι ποιεῖν ». Cf. *Epitome legum*, nel *Ius graeco-rom.* dello ZACHARIAE, VII, 71, nota 46.

c. 46 a ὁ δὲ κωδικέλλος συνίσταται διὰ πέντε μαρτύρων ὑπογραφόντων ἢ δηλονότι (a), κἂν μὴ ἐπιθήσωσιν ἐν αὐτῷ τὰς σφραγῖδας αὐτῶν (1).

Τίτλος κε bis.

Περὶ κληρονόμων.

1. Οἱ κληρονόμοι ἢ ἔνστατοι ἢ ὑποκατάστατοι λέγονται· καὶ ἡ μὲν ἔνστασις ἁπλῆ ὑπάρχει, ὡς ἔχω εἰπεῖν· ὁ Λέων ἔστω μου κληρονόμος. ἡ δὲ ὑποκατάστασις ἢ ἁπλῆ ἐστιν ἢ διπλῆ· καὶ ἁπλῆ μέν ἐστι, ὡς ὅταν εἴπῃ τις· ἐὰν μὴ κληρονόμος ᾖ (b) ὁ δεῖνα, ἔστω ὁ δεῖνα κληρονόμος. διπλῆ δέ ἐστιν, ὡς ὅταν εἴπῃ τις· εἴτε κληρονομήσει ὁ Λέων εἴτε μὴ κληρονομήσει, ἀλλ' ὅμως εἰ ἀποθνήσκει (c) ἄνηβος, ἔστω μου κληρονόμος Ἰωάννης (2).

(a) *Cod.* ὑπογραφόντων τῶν δίλον ὅτι (b) *Cod.* σῇ (c) *Cod.* ἀποθνίσκει

que substitutio in codicillo relinquatur. Codicillus autem fit quinque testibus subscribentibus, etsi in eo sigilla sua non apponant.

Titulus XXV bis.

De heredibus.

1. Heredes aut instituti dicuntur aut substituti; et institutio quidem simplex est, veluti si dicam : « Leo heres meus esto » ; substitutio autem aut simplex est aut duplex; simplex quidem est, ut si quis dicat: « si ille heres non erit, ille heres esto » ; duplex vero est, veluti si quis dicat: « sive Leo heres erit, sive non erit, « si impubes decedat, Iohannes heres meus esto ».

(1) Cf. *Epanag.* XXIX, 29. Tutti questi capitoli 5-11 sono anche speciali dell'*Epanag.*

(2) *Proch. Bas.* XXX, 1: « Οἱ κλη- « ρονόμοι ἢ ἔνστατοι ἢ ὑποκατάστατοι λέ- « γονται. ἡ δὲ ὑποκατάστασις ἢ ἁπλῆ « ἐστιν, ὡς τὸ εἰπεῖν... ἢ διπλῆ, οἷον· « εἴτε κληρονομήσας εἴτε μὴ κληρονο- « μήσας ὁ δεῖνα ἄνηβος ἀποθάνῃ, ἔστω « κληρονόμος ὁ δεῖνα ». I nomi di Leone e di Giovanni non hanno riscontro nè qui nè nell'*Epanag.* XXXIII, 2.

2. Οἱ κατιόντες, κἂν ὑπάρχωσιν ἄῤῥενες κἂν θήλειαι ὦσι, προτιμότεροί εἰσιν εἰς τὴν κληρονομίαν καὶ αὐτῶν τῶν ἀνιόντων καὶ πάντων τῶν ἐκ πλαγίου (1).

3. Ἐάν τις τῶν παίδων κληρονομήσει (a) τοῦ ἰδίου πατρός, ‖ προστάσσομεν ἵνα προσπορίσῃ καὶ παρέξῃ τῷ ἰδίῳ πάππῳ τὴν χρῆσιν τῶν προσπορισθέντων καὶ εἰσοδιασθέντων (2). c. 46 c

4. Ἐὰν τελευτήσῃ πάππος ἔχων υἱὸν καὶ ἐγγόνους ἀπ' ἄλλου παιδὸς αὐτοῦ τοῦ προτελευτήσαντος, οἱ ἔγγονοι ὑπεισέρχονται εἰς τὴν κληρονομίαν τοῦ προτελευτήσαντος πάππου ἅμα τῷ θείῳ αὐτῶν, διὰ τὸ δίκαιον ὅπερ εἶχεν εἰς τὴν κληρονομίαν ὁ πατὴρ αὐτῶν, κἂν ἄῤῥενες ὑπάρχωσι κἂν θήλειαι, εἴτε ὑπεξούσιοί εἰσιν, εἴτε αὐτεξούσιοι (3).

5. Ἐάν τις τελευτήσῃ μὴ ἔχων κατιόντας, τουτέστιν υἱούς, προτιμότεροί εἰσιν εἰς τὴν κληρονομίαν οἱ ἀνιόντες, τουτέστιν οἱ πατέρες, χωρὶς τῶν ἀδελφῶν, οἵτινες ἐγεννήθησαν ἐξ αὐτῶν τῶν γονέων. μάνθανε δὲ καὶ τοῦτο· ὅτι ἐπὶ τῶν ἀνιόντων προτιμᾶται εἰς τὴν κληρονο-

(a) *Cf. XXV, 10.*

2. Descendentes, sive mares sint sive feminae, praeferuntur in hereditate et ipsis ascendentibus et omnibus ex latere venientibus.

3. Si quis liberorum patri suo heres erit, statuimus ut avo suo usumfructum acquisitorum et proventuum acquirat et tradat.

4. Si avus decedat habens filium et nepotes ex alio filio suo praemortuo, nepotes cum patruo suo hereditatem praedefuncti avi adeunt, ob ius quod pater eorum in hereditatem habebat, sive mares sint sive feminae, sive alieni sive sui sint iuris.

5. Si quis descendentes, h. e. filios, non habens moriatur, in hereditate ascendentes, h. e. parentes, praeferuntur, exceptis fratribus, qui ex iisdem parentibus nati sunt. Scito vero etiam hoc, in ascendentibus nempe proximiorem gradu in hereditate praeferri,

(1) *Proch. Bas.* XXX, 2: « οἱ κατ.,... « προτιμῶνται τῶν ἀνιόν. καὶ τῶν ἐκ « πλαγίου ».

(2) *Proch. Bas.* XXX, 3: « ... προσ- « πορίζει τῷ ἑαυτοῦ πάππῳ τὴν χρῆσιν « τῶν προσπορισθέντων ».

(3) *Proch. Bas.* XXX, 4: « Ἐὰν ὁ « πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις « ἀπὸ ἄλλου παιδός, οἱ ἔγγονοι ὑπεισέρ- « χονται τὸ πρόσωπον τοῦ ἰδίου γονέως, « καὶ ἅμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ, « κληρονομοῦσιν αὐτόν, λαμβάνοντες εἴ τι « ἤμελλε λαμβάνειν, εἰ περιῆν, ὁ πατὴρ « αὐτῶν, κἂν ἄῤῥενες » &c.

c. 46 D μίαν ὁ ἐγγύτερος ὑπάρχων τῷ βαθμῷ, κἂν θῆλυ ὑπάρχει· εἰ δὲ ὑπάρχουσι πάντες ἑνὸς βαθμοῦ καὶ ὁμοίου, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν (1).

6. Οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαί, τουτέστιν οἱ ἐξ ἑνὸς γονέως τεχθέντες ἀδελφοὶ καὶ ἀδελφαί, ὁμοίως καὶ οἱ ἀνιόντες καλοῦνται εἰς τὴν κληρονομίαν ἐξίσου, καὶ ἐξ αὐτῶν οὐδὲν προσπορίζουσι τοῖς γονεῦσιν αὐτῶν, τουτέστιν οὐδὲν παρέχουσιν, οἱ ἀδελφοὶ τοῦ τελευτήσαντος ἀδελφοῦ αὐτῶν ἐκ τοῦ μέρους, ὅπερ ἦλθεν αὐτοῖς ἀπὸ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν ὑπεξούσιος ὑπῆρχεν ὁ προτελευτήσας ἀδελφὸς αὐτῶν (2).

7. Εἰ (a) δὲ ὑπάρχουσιν ἀνιόντες τῷ τελευτήσαντι καὶ ἀδελφοὶ γνήσιοι καὶ παῖδες ἀδελφοῦ ἀμφιθαλοῦς τοῦ προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν αὐτὴν διαδοχήν, κἂν θήλειαι κἂν ἄῤῥενες ὦσιν (b).
c. 47 A οἱ γὰρ παῖδες τοῦ τελευ|τήσαντος ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου

(a) *Cod.* ὀι *ma la lettera* ο *è in rosso.* (b) *Cod.* ὦσην

licet femina sit. Quod si omnes unius eiusdemque gradus sint, ad hereditatem simul vocantur.

6. Germani fratres et sorores, h. e. fratres et sorores ex uno parente generati, nec non et ascendentes ad hereditatem in aequales portiones vocantur, neque genitoribus suis aliquid acquirunt, h. e. nihil tradunt, fratres praemortui fratris sui ex parte, quae eis obvenit ex hereditate fratris, quamvis frater praemoriens in potestate fuerit.

7. Si vero ascendentes et fratres germani et liberi fratris germani praemortui extant defuncto, omnes ad successionem ipsam vocantur, sive feminae sive masculi sint. Liberi enim fratris ger-

(1) *Proch. Bas.* XXX, 5: « Κατιόν- « των μὴ ὑπόντων, προκαλοῦνται οἱ ἀνιόν- « τες τῶν ἐκ πλαγίου πάντων, « χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων « ἀδελφῶν. ἰστέον δὲ ὅτι ἐπὶ τῶν ἀνιόν- « των προτιμᾶται ὁ ἐγγύτερος τῷ βαθμῷ « τοῦ μὴ πλησιάζοντος, κἂν θῆλυ « πρόσωπον εἴη. εἰ γάρ εἰσι πάντες τοῦ « αὐτοῦ βαθμοῦ » &c.

(2) *Proch. Bas.* XXX, 6: « ... καὶ « οὐδὲν προσπορίζουσι... οἱ ἀδελφοὶ τὴν « χρῆσιν τοῦ ἁρμόσαντος αὐτοῖς μέ- « ρους » &c. Il nostro non parla di « χρῆσις » e dice in generale « οὐδὲν ».

ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου πατρὸς καὶ λαμβάνουσιν εἴ τι ἤμελλε λαμβάνειν ὁ πατὴρ αὐτῶν, εἴπερ ἔζη [1].

8. Οἱ ἀδελφοί, οἵτινες ἐγεννήθησαν ἐξ αὐτῶν τῶν [a] γονέων, ἔχουσι πρώτην τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφόν, ἄλλων ἀδελφῶν μὴ ὄντων ἀμφιθαλῶν. εἰ δὲ καὶ ὑπάρχουσι παῖδες ἑτέρου ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, κἀκεῖνοι ὁμοῦ καλοῦνται εἰς τὴν διαδοχήν, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ εἰς τὰ πράγματα τοῦ τελευτήσαντος αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου. εἰ δὲ μὴ [b] ὑπάρχουσιν ἀδελφοὶ ἢ παῖδες τοιούτων ἀδελφῶν, τότε οἱ [c] ἐκ διαφόρων γονέων γεννηθέντες ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν [2].

9. Ἐάν τις τελευτήσῃ ἔχων ἀδελφὸν οὐχ ὁμοπάτριον καὶ ὁμο- c. 47 B
μήτριον καὶ υἱοὺς ἀδελφοῦ ἀμφιθαλοῦς, οἱ παῖδες τοῦ ὁμοπατρίου καὶ ὁμομητρίου ἀδελφοῦ προτιμῶνται εἰς τὴν κληρονομίαν αὐτοῦ· καὶ γὰρ οἱ θεῖοι ὄντες ἀπὸ τῶν αὐτῶν [d] γονέων προτιμώτεροί εἰσιν εἰς τὴν κληρονομίαν τῶν παίδων τῶν ἀδελφῶν [d] ἐκ διαφόρων γονέων γεννηθέντων.

(a) ἐξ αὐτῶν τῶν] *Così il Cod.* (b) μὴ *manca nel Cod.* (c) *Cod.* ἢ (d) *Ho supplito questa parola dal Proch. Bas. XXX, 9.*

mani praemortui in patris sui personam subeunt et accipiunt quidquid pater eorum, si superesset, accepturus fuisset.

8. Fratres ex iisdem parentibus nati primum ordinem habent in fratris sui successione, aliis fratribus non germanis extantibus. Quod si et liberi alii fratris germani extent, illi quoque in hereditatem simul vocantur, h. e. fratres et liberi fratris germani in bona defuncti, illorum quidem fratris, horum vero patrui. Sin autem (neque) fratres neque huiusmodi fratrum liberi adsint, tunc fratres ex diversis parentibus nati defuncto fratri succedunt.

9. Si quis decedat habens fratrem non ex eodem patre et matre natum et filios fratris germani, germani fratris filii in illius hereditate praeferuntur; nam patrui ex (iisdem) parentibus in hereditate potiores sunt liberis (fratrum) ex diversis parentibus genitorum. Hoc quoque sciendum est, non extantibus defuncto fra-

(1) *Proch. Bas.* XXX, 7: « Ἀνιόντων « ὑπόντων τῷ τελευτήσαντι... οἱ γὰρ « ἀδελφόπαιδες ὑπεισέρχονται » &c.

(2) *Proch. Bas.* XXX, 8: « Οἱ ἐκ τῶν « αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην « ἔχουσι τάξιν » &c.

γίνωσκε δὲ καὶ τοῦτο, ὅτι ἐὰν οὐχ ὑπάρχωσι τῷ τελευτήσαντι ἀδελφοὶ ἀμφιθαλεῖς ἢ παῖδες τοιούτων ἀδελφῶν, τουτέστιν ὁμοπατρίων καὶ ὁμομητρίων, τότε κληρονομοῦσι τὸν τελευτήσαντα οἱ ἐκ διαφόρων γονέων ἀδελφοί (1). εἰ δὲ ἀδελφοὶ μὴ ὑπάρχωσι τῷ τελευτήσαντι, μήτε παῖδες ἀδελφοῦ, τότε καλοῦνται εἰς τὴν διαδοχὴν οἱ λοιποὶ συγγενεῖς οἱ ἐκ
c. 47 c πλαγίου ὄντες, καὶ εἰ μὲν εὑρεθῶσι πολλοὶ | εἶναι τοῦ ἑνὸς βαθμοῦ, τότε ἐξίσης κληρονομοῦσι τὸν τελευτήσαντα (2).

10. Ἐὰν πατὴρ προικίσῃ τὴν ἑαυτοῦ θυγατέρα καὶ συμφωνήσῃ τῷ γαμβρῷ αὐτοῦ, ἵνα ἀρκέσῃ ἡ θυγάτηρ αὐτοῦ εἰς τὴν προῖκα ἣν ἔδωκεν αὐτῇ καὶ μὴ ἔξῃ μέρος τι δήποτε ἐκ τῆς κληρονομίας αὐτοῦ, τοῦτο τὸ σύμφωνον οὐκ ἔρρωται, οὐδὲ κωλύεται ἡ θυγάτηρ αὐτοῦ κληρονομῆσαι αὐτὸν ἀδιάθετον τελευτῶντα, ἀλλ' ὅμως ἵνα πρῶτον αὐτὴ συνεισφέρῃ τὴν προῖκα ἣν ἔλαβεν εἰς τοὺς ὑπεξουσίους ἀδελφούς (3).

11. Τὴν πρὸ γάμου δωρεὰν δεῖ συνεισφέρειν ὥσπερ καὶ τὴν προῖκα,

tribus germanis vel huiusmodi fratrum, nempe ex eodem patre et matre, liberis, fratres tunc ex diversis parentibus defuncto succedere. Quod si defuncto neque fratres neque fratris filii extent, tunc reliqui qui sunt ex latere cognati ad successionem vocantur, et si plures eiusdem gradus esse inveniantur, per capita defuncto succedunt.

10. Si pater filiam suam dotet et cum genero paciscatur, ut filia dote ei data contenta sit neque partem aliquam ex hereditate sua habeat, non valet hoc pactum, neque filia patri intestato decedenti succedere prohibetur, ita tamen ut prius ipsa acceptam dotem fratribus in potestate extantibus conferat.

11. Oportet ut donatio ante nuptias conferatur, veluti et dos,

(1) *Proch. Bas.* XXX, 9: « Ἐάν τις « τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γο- « νέων ὑπάρχοντι καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ « ὁμοπατρίου καὶ ὁμομητρίου, οἱ τεκνά- « δελφοι προτιμῶνται τοῦ ἀδελφοῦ εἰς « τὴν κληρονομίαν αὐτοῦ ... ἰστέον δέ, « ὅτι ἀδελφῶν ἀμφιθαλῶν καὶ παίδων « τοιούτων ἀδελφῶν μὴ ὑπόντων, τότε οἱ « ἐκ διαφόρων γονέων ἀδελφοὶ κληρονο- « μοῦσι τὸν ἐξ ἑνὸς γονέως ὄντα ἀδελφὸν « αὐτῶν ».

(2) *Proch. Bas.* XXX, 10: « Ἀδελ- « φοῦ μὴ ὑπόντος μήτε ἀδελφόπαιδος, οἱ « λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, « οἱ τῷ βαθμῷ μέντοιγε ὄντες « ἐγγύτεροι » &c.

(3) *Proch. Bas.* XXX, 11: « Εἰ πα- « τὴρ προικίζων » &c.

ἐὰν ἀδιάθετος τελευτήσῃ ὁ πατὴρ αὐτῶν, ἢ ἡ μήτηρ ἤ τις (a) ἔδωκεν αὐτὴν (b) τὴν προῖκα, εἴτε πάππος ἢ μάμμη ἐστί (1).

12. Καλῶς ἐνίστανται κληρονόμοι καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος (2).

13. Οὐ βλάπτουσι τὸν κληρο||νόμον, ἐὰν ἐν τῷ μέσῳ συμβῇ αὐτῷ τί ποτε, τουτέστιν ἐὰν περιορισθῇ ἢ ἐξορισθῇ μετὰ τὸ ποιῆσαι (c) τὴν διαθήκην, καὶ πάλιν ἐὰν κατασταθῇ, τουτέστιν ἐὰν ἐπανέλθῃ ἀπὸ τῆς ἐξορίας τῇ κελεύσει τοῦ βασιλέως (3). c. 47 D

14. Ἔῤῥωται ἡ ἔνστασις, ἐὰν μὴ λεχθῇ τὸ ὄνομα τοῦ κληρονόμου, ἀλλὰ γνώρισμά τι ὁμολογούμενον (4).

15. Οἱ κληρονόμοι διάδοχοί εἰσι τοῦ δικαίου καὶ ἐξ ἴσου καλοῦνται εἰς τὴν διαδοχήν, ἐὰν ὁ διατιθέμενος μὴ διαχωρίσῃ (d) εἰς αὐτοὺς (e) τὴν αὐτὴν κληρονομίαν (5).

(a) *Cod.* ἤτις *Il testo è forse lacunoso.* (b) *Cod.* αὐτῇ (c) *Così il Cod.* (d) *Cod.* διαχωρήσῃ (e) *Parola supplita dal Proch. Bas. XXX, 16.*

si intestatus decedat pater eorum aut mater aut quisquis dotem ipsam dedit, sive avus sit sive avia.

12. Recte instituuntur heredes et surdus et mutus.

13. Heredi non nocet si quid medio tempore ei accidit, h. e. si relegatur aut deportatur post conditum testamentum rursumque restituitur, h. e. si ab exilio regis iussione revertit.

14. Valet institutio, quamvis heredis nomen non sit expressum, sed notorium aliquod signum.

15. Heredes iuris successores sunt et aequaliter ad successionem vocantur, si testator inter ipsos hereditatem non diviserit.

(1) *Proch. Bas.* XXX, 12: « Τὴν « προγάμου δωρεὰν ὥσπερ τὴν προῖκα δεῖ « συνεισφέρεσθαι, ἀδιαθέτου τελευτῶντος « τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε μήτηρ « ἐστὶν εἴτε πατὴρ ἤ τις τῶν ἀνιόντων ἢ « πρὸς πατρὸς ἢ πρὸς μητρός ».

(2) Cf. *Proch. Bas.* XXX, 13.

(3) *Proch. Bas.* XXX, 14: « Τὰ ἐν « τῷ μέσῳ συμβαίνοντα τῷ κληρονόμῳ οὐ « βλάπτει. οἷον ἐὰν περιορισθῇ ἢ ἐξο- « ρισθῇ μετὰ τὴν διαθήκην καὶ πάλιν « ἀποκατασταθῇ ». Il nostro crede necessario di aggiungere che l'esiliato poteva tornare dall'esilio per comando del « βασιλεύς ».

(4) Cf. *Proch. Bas.* XXX, 15.

(5) *Proch. Bas.* XXX, 16: « Οἱ κληρ. « δικαίου εἰσὶ διάδοχοι, καὶ ἐὰν μὴ διέλῃ « εἰς αὐτοὺς ὁ διατιθέμενος, ἐξίσου κα- « λοῦνται ».

16. Καὶ ὁ ὑπάρχων ἐν αἰχμαλωσίᾳ καλῶς γράφεται κληρονόμος διὰ τὴν ἐλπίδα τῆς ὑποστροφῆς, ὁμοίως καὶ ὁ δοῦλος αὐτοῦ· καὶ ἐὰν ὑποστρέψῃ, λαμβάνει τὴν κληρονομίαν ἣν ἠφῆκεν αὐτοῦ (a) (1).

c. 48 A 17. Ἔγραψά τινα κληρονόμον· μετὰ ταῦτα λόγος ἐῤῥέ‖θη, ὅτι ἐτελεύτησεν. ἐποίησα δευτέραν διαθήκην εἰπὼν ἐν αὐτῇ οὕτως· ἐπειδὴ οὐκ ἠδυνήθην ἔχειν κληρονόμον ὃν ἤθελον, ἔστω ὁ δεῖνα κληρονόμος μου. λοιπὸν διὰ τὴν γνώμην μου ὁ πρότερος ὑπάρχει κληρονόμος μου, καὶ παρέχει τὰ ἐν τῇ διαθήκῃ λιγάτα, ὡσανεὶ (b) ἐγράφη κληρονόμος ἐν τῇ β' διαθήκῃ (2).

18. Ὁπόταν τελευτήσῃ ὁ ἀνὴρ ἢ ἡ γαμετὴ ἀδιάθετοι, καὶ οὐκ ἔχουσι ἢ ἔννομον ἢ φυσικὸν διάδοχον ἐκ τῶν ἀνιόντων ἢ κατιόντων ἢ τῶν ἐκ πλαγίου, τότε, εἰ μὲν ὁ ἀνὴρ ζῇ, καλείσθω ἐξολοκλήρου εἰς τὴν κληρονομίαν τῆς τελευτησάσης αὐτοῦ γυναικός, ὁμοίως καὶ ἡ γυνὴ κληρονομείτω (c) τὸν τελευτήσαντα αὐτῆς ἄνδρα (3).

(a) *Così il Cod. Cf. cap. 22.* (b) *Cod.* ὡς ἄνει (c) *Cod.* κληρονομήτω

16. Et qui in captivitate est recte heres scribitur propter spem postliminii, necnon et servus eius; et si redierit, hereditatem ei relictam accipit.

17. Quendam heredem scripsi; postea rumor invaluit eum obiisse; alterum condidi testamentum, ita in eo dicens: « Quia « quem volui heredem habere non potui, ille heres meus esto ». Igitur propter voluntatem meam prior heres meus est et legata in testamento praestat, perinde ac si heres in secundo testamento scriptus esset.

18. Si vir aut uxor intestati decedant, et neque legitimum neque naturalem successorem ex ascendentibus aut descendentibus aut ex latere venientibus habeant, tunc, si vir quidem superest, ex asse ad defunctae uxoris suae hereditatem vocetur, pariterque uxor obeunti viro heres existat.

(1) *Proch. Bas.* XXX, 17: « Καὶ ὁ « αἰχμάλωτος διὰ τὴν ἐλπίδα » &c.

(2) *Proch. Bas.* XXX, 18: « Ἔγραψά « σε κληρονόμον· εἶτα φήμης γενομένης « ὡς ἐτελεύτησας, δευτέραν ἔγραψα διαθήκην » &c.

(3) *Proch. Bas.* XXX, 19: « Ἡνίκα « τελευτήσῃ ἀνὴρ ἢ γαμετὴ ἀδιάθετοι, « καὶ μηδένα... σχοίησαν διάδοχον, τότε « ὁ ἀνὴρ » &c.

19. Δύναταί τις γράφειν κληρονόμους καὶ ἐλευθέρους καὶ δούλους ἡμετέρους καὶ ξένους, ἀλλὰ ἡ ἔν|στασις τοῦ οἰκέτου ἔῤῥωται, εἰ τάχα c. 48 a
οὐκ ἐλευθεροῦται, ἥτις ἔνστασις καὶ χωρίς τινος ἐλευθερίας ἀκωλύτως κράζει εἰς τὴν κληρονομίαν τοὺς γραφέντας δούλους (1).

20. Δυνάμεθα γράφειν κληρονόμους τοὺς δούλους ἐκείνων, οἵτινες δύνανται γράφεσθαι κληρονόμοι· ὁ γὰρ δοῦλος ἔχει προνόμιον τῆς διαθήκης ἐκ προσώπου τοῦ δεσπότου αὐτοῦ (2).

21. Οὐ δύναταί τις πάντοτε ἰσχυρῶς γράφειν κληρονόμον αὐτοῦ τὸν ἔνστατον δοῦλον αὐτοῦ, ἀλλ' οὐδὲ τοῦτο δύναταί τις ποιῆσαι αὐτόν (a), ὡς ἐγένετο ἐπὶ τοῦ τοιούτου παραδείγματος· ἀνήρ τις ἔβαλε κατηγορίαν κατὰ τῆς γυναικὸς αὐτοῦ, λέγων αὐτὴν μοιχεύεσθαι ὑπὸ τοῦ δούλου. ἀλλὰ μήποτε λειωθείσης τῆς δίκης τῆς κατηγορίας ταύτης, κατεστάθη κληρονόμος ὁ δοῦλος || παρὰ (b) τῆς δεσποίνης αὐτοῦ, ἥτις κατηγορηθῇ c. 48 c
περὶ τῆς μοιχείας. λοιπὸν αὕτη ἡ ἔνστασις ἡ γεναμένη τῷ τοιούτῳ δούλῳ οὐκ ἔῤῥωται, ἀλλὰ ξένη ἐστὶ πάσης (c) ἰσχύος (3).

(a) *Così il Cod.* (b) *Cod.* περὶ (c) *Cod.* πάσις

19. Quisquis scribere potest heredes tam ingenuos quam servos nostros et alienos; quin valet servi institutio, etsi liberatus non sit, haecce institutio etiam sine libertate absque impedimento ad hereditatem scriptos servos vocat.

20. Heredes scribere possumus servos eorum, qui heredes possunt institui; servus enim testamenti privilegium ex persona domini sui habet.

21. Non semper quis heredem suum valide scribere potest institutum servum suum, quin nec eum quis hoc facere potest (?), veluti in hac specie fit: Quidam vir in uxorem suam accusationem iniecit, dicens eam a servo adulteratam. At, huiusce accusationis causa nondum expleta, servus heres institutus est a domina sua, quae adulterii accusata fuit. Haec igitur institutio in huiusmodi servo facta non valet omnique robore caret.

(1) *Proch. Bas.* XXX, 20: « Γράφειν « δυνάμεθα κληρονόμους τοῦτο μὲν ἐλευ- « θέρους, τοῦτο δὲ οἰκέτας, καὶ οἰκέτας « ἡμετέρους, ἔτι δὲ καὶ ἀλλοτρίους. ἀλλὰ « καὶ δίχα ἐλευθερίας ἡ τοῦ οἰκέτου ἔνστα- « σις ἔῤῥωται, ἥτις καὶ χωρὶς ἐλευθερίας « γραφέντας αὐτοὺς ἀκωλύτως ἐπὶ τὴν « κληρονομίαν καλεῖ ».

(2) Cf. *Proch. Bas.* XXX, 21: differisce solo per l'ordine delle parole, che sono le stesse.

(3) *Proch. Bas.* XXX, 22: « Οὐκ ἀεί

22. Μήτηρ ἀκούσασα οὐ κατὰ ἀλήθειαν τὸν στρατιώτην αὐτῆς τελευτήσαντα, τουτέστι τὸν υἱὸν αὐτῆς, ἔγραψεν ἄλλον κληρονόμον· εἶτα ἐπανελθὼν ὁ υἱὸς αὐτῆς λαμβάνει τὴν κληρονομίαν καὶ παρέχει τὰ λιγάτα καὶ τὰς ἐλευθερίας, ἃς ἠφῆκεν (a) ἡ μήτηρ αὐτοῦ (1).

Τίτλος κς.

Περὶ ἀποκαταστάσεως ἀνηλίκων πρὸς τὰ ἴδια.

1. Οἱ κατώτεροι τῶν κε ἐτῶν λαμβάνουσι τὰ ἐνέχυρα αὐτῶν, ἅτινα ἐπώλησαν οἱ δανεισταὶ αὐτῶν, εἰ μὴ ἄρα ταῦτα τὰ ἐνέχυρα ἔδωκεν ὁ πατὴρ αὐτῶν τοῖς δανειστοῖς (2).

(a) *Cf. cap. 16.*

22. Mater falso audiens militem suum, h. e. filium suum, obiisse, alium heredem scripsit: deinde rediens filius hereditatem adit et legata libertatesque a matre relictas praestat.

Titulus XXVI.

De restitutione minorum in propria.

1. Minores .xxv. annis pignora, quae creditores vendiderant, recipiunt, nisi forte pater eorum creditoribus ipsa pignora tradiderit.

« τις τὸν ἴδιον δοῦλον ἔνστατον γράφει « κληρονόμον ἰσχυρῶς, ἀλλ' οὐδὲ μετὰ « ἐλευθερίας, ὡς ἐπὶ τοῦ τοιούτου « θέματος· ἀπέθετό τις ἀνὴρ κατηγο- « ρίαν... μήπω περαιωθέντος τοῦ δικα- « στηρίου ἡ εἰρημένη γυνὴ τελευτῶσα τὸν « εἰρημένον δοῦλον μετὰ ἐλευθερίας « ἐνεστήσατο κληρονόμον. μετὰ τὴν « ἐκείνης τελευτὴν ζήτησις γέ- « γονεν, εἰ ἔῤῥωται τὰ τῆς ἐν- « στάσεως. καὶ οἱ νομικοὶ ἀντέ- « γραψαν· τὸν οἰκέτην ἔνοχον ὄντα « τῇ μοιχείᾳ οὐκ ἰσχυρῶς ἐν τῇ « διαθήκῃ ἐλευθεροῦσθαι πρὸ τοῦ « πέρατος τοῦ δικαστηρίου ὑπ' « ἐκείνης αὐτοῦ τῆς δεσποίνης, « ἥτις ὡς ὑποπεσοῦσα τῷ αὐτῷ « ἐγκλήματι κατηγορεῖτο. ὥστε « οὖν ἡ ἔνστασις ἡ ἐπὶ τῷ τοιούτῳ γε- « νομένη » &c. Si noti tutta la questione tralasciata dal nostro, che riferisce solo il risultato.

(1) *Proch. Bas.* XXX, 23: « Μήτηρ « ψευδῶς ἀκούσασα... ἄλλον ἔγραψεν· « λαμβάνει τὴν κληρονομίαν » &c. Non vi manca la frase del nostro: « εἶτα « ἐπανελθὼν ὁ υἱός »?

(2) *Proch. Bas.* XXXI, 1: « Ἀποκα-

2. Οὐχὶ ἀποκαθίστανται οἱ νέοι ἐν πᾶσι τοῖς πράγμασιν, ἀλλ' ἐν οἷς εἶχον ἀπώλειαν ἢ ὑφ' ἑαυτῶν ἢ ὑπὸ ἑτέρων προσώπων ἢ κατεκρίθησαν μὴ κτησάμενοί (a) τι (1).

3. Τὸ πρᾶγμα τοῦ ἀνήλικος, κἂν ἀκίνητον ὑπάρχῃ, καλῶς πωλεῖται διὰ τὸ χρέος αὐτοῦ ἢ διὰ τὸ χρέος τοῦ πατρὸς αὐτοῦ ἢ διὰ τὸ δημόσιον χρέος, ἀλλ' ὅμως τοῦτο ἵνα γένηται ὑπὸ φανερᾶς ἀποφάσεως τοῦ δικαστοῦ (2). c. 48 D

4. Καλῶς δύνανται ἀνατρέπειν οἱ κατώτεροι τῶν κε ἐτῶν ἅπερ κατὰ δόλον κακῶς ἐπώλησαν οἱ κηδεμόνες αὐτῶν (3), δηλονότι οἱ ἐπίτροποι αὐτῶν καὶ ἐντολέοι.

5. Ἡ ἀποκατάστασις ἥτις ἁρμώζει τινὶ νέῳ, καὶ ἐπὶ τοὺς κληρονόμους αὐτοῦ παραπέμπεται (4).

6. Ἐάν τις κατώτερος ὑπάρχων τῶν κε ἐτῶν, κἂν (b) εἴπῃ (c) ἑαυτὸν μείζονα, ὡς ἥττων ἀποκαθίσταται (d) (5).

(a) *Cod.* κτισάμενοι (b) Ἐάν τις – ὑπάρχων – κἂν κτλ.] *Così il Cod.* (c) *Cod.* ἴδη *Cf. Proch. Bas. XXXI, 6.* (d) *Cod.* ἀπὸ καθήσταται

2. Non in omnibus rebus minores restituuntur, sed in quibus aut per se ipsos aut per alias personas iacturam fecerunt aut nihil acquirentes fuerunt obligati.

3. Minoris res, licet immobilis sit, recte venditur ob debitum ipsius aut ob debitum patris aut ob debitum publicum, ita tamen ut hoc per manifestum iudicis decretum fiat.

4. Recte minores .xxv. annis rescindere possunt quae dolo malo vendiderunt curatores eorum, h. e. eorum ἐπίτροποι et ἐντολέοι.

5. Restitutio alicui minori competens et ad heredes eius transmittitur.

6. Si quis .xxv. annis minor sit, quamvis se maiorem dicat, tanquam minor restituitur.

« Δίστανται οἱ ἥττονες τῶν κε ἐτῶν κατὰ « τῶν πραξάντων αὐτῶν ἐνεχύρων παρὰ « τῶν ἰδίων δανειστῶν, εἰ μὴ ἄρα ὁ τούτων « πατὴρ τὰ ἐνέχυρα τοῖς δανειταῖς ἔδωκε, « καὶ οὐκ αὐτοί ». Si noti come il nostro volgarizza, scartando le parole tecniche. La rubrica nel *Proch. Bas.* è « περὶ ἀποκαταστάσεως », senz'altro.

(1) *Proch. Bas.* XXXI, 2: « ... ἀλλ' ἐν « τοῖς ὑφ' ἑαυτῶν ἢ ὑφ' ἑτέρων ἀπολέσαν- « τες ἢ μὴ κτησάμενοι ἢ ἐνοχοποιηθέντες ».

(2) Cf. *Proch. Bas.* XXXI, 3.

(3) *Proch. Bas.* XXXI, 4: « Καλῶς « ἀνατρέπουσιν οἱ ἥττονες, ἅπερ » &c.

(4) Cf. *Proch. Bas.* XXXI, 5.

(5) *Proch. Bas.* XXXI, 6: « Κἂν εἴπῃ

7. Ὁ κατώτερος τῶν κε ἐτῶν συγγνώμην τῆς ἡλικίας αἰτίσας [a], τουτέστι συγχώρησιν αἰτήσας λαβεῖν τῶν πωληθέντων παρ' αὐτοῦ [b]
c. 49 A διὰ τὸ εἶναι ἀνήλικον, καλῶς δύναται ἀνατρέψαι ‖ ὅσα πράγματα κακῶς ἐπώλησεν, ἔνδοθεν ἑνὸς χρόνου μετὰ τὴν πλήρωσιν τῶν κε ἐτῶν. ὁμοίως καὶ ὅσα κακῶς ἠγόρασεν ἢ ἐνήλλαξε, δύναται καλῶς ἅπαντα ἀνατρέψαι καὶ ἀναλαβεῖν τὸ τίμημα ἔνδον τοῦ εἰρημένου χρόνου [1]. εἰ δὲ ὁ ἀφῆλιξ χαρίσηταί τι πρᾶγμά τινι, δύναται ἐπαναλαβεῖν ἐντὸς τῶν δ' ἐτῶν μετὰ τὸ πληρῶσαι τοὺς κε χρόνους [2].

Τίτλος κζ.

Περὶ φαλκιδίου νόμου.

1. Τί ἐστι φαλκίδιος [c]; ἔστιν ἄχρι μὲν τεσσάρων παίδων τὸ τρίτον τῆς καθαρᾶς ὑποστάσεως, πλειόνων δὲ τῶν παίδων τὸ ἥμισυ [3]· του-

(a) αἰτίσας] *Così il Cod.* (b) *Cod.* αὐτῶν (c) *Cod.* φαλκιδίος

7. Minor .xxv. annis aetatis veniam impetrans, h. e. licentiam impetrans res ab eo venditas recipiendi propter aetatem minorem, recte rescindere potest quae male vendidit intra unum annum post .xxv. annos impletos. Pariterque quaecumque male emit aut permutavit, recte omnia rescindere potest et pretium recipere intra dictum tempus. Quod si minor quid alicui donaverit, intra .iv. annos, postquam .xxv. annos implevit, recuperare potest.

Titulus XXVII.

De lege Falcidia.

1. Quid est Falcidia? Ad quatuor usque liberos est triens purae substantiae, si autem plures liberi sint, semis: h. e. si quis

« ἑαυτὸν μείζονα ὁ ἥττων κατὰ πλά-
« νην, οὐδὲν ἥττον ἀποκαθίσταται ».

(1) *Proch. Bas.* XXXI, 7: « Ὁ ἥτ-
« των συγγνώμην ἡλικίας αἰτήσας δύναται
« ἀνατρέψαι ὃ κακῶς ἐπώλεσεν » &c. Il nostro tralascia quest'ultima frase: « τοῦτο δὲ τὸ προνόμιον καὶ κληρονόμοις
« αὐτοῦ παραπέμπεται ».

(2) Cf. *Proch. Bas.* XXXI, 8.

(3) *Proch. Bas.* XXXII, 1: « Φαλ-
« κίδιός ἐστιν ἄχρι μὲν δ' παίδων τὸ τρί-
« τον μέρος τ. κ. ὑ., πλειόνων δὲ ὄντων
« τ. π., ἥμισυ ». Si noti anche qui la forma interrogativa, come già osservammo in principio dei titoli XVII e XXV.

τέστιν, ἐάν τις τελευτήσῃ καὶ ἐκ τοῦ μέρους αὐτοῦ οὐ καταλιμπάνει εἰς τοὺς ἰδίους παῖδας, θεσπίζομεν ἵνα ἔλθωσιν οἱ παῖδες, εἰ μὲν τέσσαρές εἰσι, καὶ λάβωσι τὸ γ' μέρος τῆς ὑποστάσεως τοῦ ‖ πατρὸς αὐτῶν· καθαρᾶς δὲ λέγει, διότι πρῶτον ὀφείλει δοθῆναι ἅπαν τὸ χρέος τοῦ πατρὸς αὐτῶν καὶ τὰς δαπάνας τοῦ ἐνταφιασμοῦ, καὶ μετὰ ταῦτα ἐκ τῆς καθαρᾶς ὑποστάσεως ἵνα οἱ δ' παῖδες λήψονται τὸ γ', εἰ δὲ πλείονές εἰσι τῶν δ', ἵνα λάβωσι τὸ ἥμισυ τῆς ὑποστάσεως τοῦ πατρὸς αὐτῶν (1). λοιπὸν ἐν τούτῳ τῷ γ' μέρει ἢ ἡμίσει ὑπεισέρχονται ὅσοι ἂν ὁρισθῶσι πρὸς φαλκίδιον, μετὰ τῶν κληρονομούντων τὴν ἄλλην ὑπόστασιν, καθὼς λέγει ἡ τελευταία διάταξις τοῦ διατιθεμένου (2). δυνατὸν ἔχει ὁ διατιθέμενος λιγατεύειν μέχρι τοῦ ὀκταουγκίου μόνου, τὸ γὰρ τετραούγκιον (a), τουτέστι τὸ τρίτον τῆς περιουσίας, φυλάττεται τῷ κληρονόμῳ (3). c. 49 B

2. Ἐπὶ τοῦ φαλκιδίου ἀνάγκη ὑπάρχει ἵνα ἐκβάλωσι τὰ χρέη (b) ἅπαντα τοῦ τελευτήσαντος, καὶ ‖ τὰς δαπάνας τοῦ ἐνταφιασμοῦ, καὶ τὰ c. 49 C

(a) *Opp.* τετραόγκιον? *Cod.* τέτρα ὄγκιον (b) χρέη] *Così il Cod.*

decesserit et ex parte sua (nihil) liberis suis reliquerit, statuimus, ut liberi, si quatuor quidem sunt, veniant et trientem patris sui substantiae accipiant: purae autem dicitur eo quod primum omne aes alienum patris eorum et funeris expensa praestanda sunt, et postea ex pura substantia quatuor liberi trientem lucrentur, et si plures quam quatuor sint, semissem ex patris sui substantia accipient. In hoc igitur triente aut semisse subeunt quicumque Falcidia continentur, cum iis qui in reliqua substantia succedunt, prout dicit ultima testatoris ordinatio. Potestatem habet testator ad octo tantum usque uncias legare; quatuor enim unciae, h. e. tertia substantiae pars, heredi servantur.

2. In Falcidia necesse est ut deducantur debita omnia de-

(1) Questa addizione del nostro, che non ha riscontro nei fonti, non fa che spiegare e volgarizzare la disposizione del *Proch. Bas.* Il concetto della « καθαρᾶς ὑποστ. » è preso dal cap. seg.

(2) *Proch. Bas.* loc. cit.: « ἐν τούτῳ « οὖν τῷ εἰρημένῳ τρίτῳ ἢ ἡμίσει μέρει « ὑπεισέρχονται, ὅσοι ἂν χωρισθῶσι πρὸς « φαλκίδιον, μετὰ τῶν τὴν λοιπὴν ὑπό- « στασιν κατὰ τελευταίαν διάταξιν κλη- « ρονομούντων ».

(3) Cf. *Proch. Bas.* XXXII, 2.

τιμήματα τῶν ἐλευθερωθέντων δούλων, καὶ τὸ ἀπομένον λογίζεσθαι ὅσον ὑπάρχει· τοῦτο γὰρ ἐτυπώθη εἶναι καθαρὰ οὐσία, καὶ ταύτης τὸ γ' φυλάττεται τοῖς υἱοῖς (1).

3. Ἐάν τις χαρίσηται εἴς τινα τῶν παίδων αὐτοῦ ἄμετρον δωρεάν, ἀνάγκην (a) ἔχει ὁ πατὴρ ἵνα φυλάξῃ ἑκάστῳ τῶν παίδων ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον μέρος τὸ ἐκ τοῦ νόμου, ὅσον ἦν, πρὶν ἂν ποιήσαιτο ὁ πατὴρ τὴν δωρεὰν εἰς τοὺς παῖδας τοὺς τετιμημένους ταύτῃ τῇ δωρεᾷ. εἰ γὰρ οὕτω ποιήσει ὁ πατήρ, οὐδέν ἐγκαλέσουσιν οἱ παῖδες ἐν ταῖς δωρεαῖς, ὡς ἔχοντες τὸ δίκαιον τῶν νόμων ἐν πάσῃ τῇ οὐσίᾳ τοῦ πατρός, τοσοῦτον δὲ αὐξανομένου τούτου τοῦ μέτρου, καθ' ὅσον καὶ τὰ πράγματα εἶχον τοῦ πατρὸς πρὶν ταῖς δωρεαῖς ἐπαντληθείη (2).
c. 49 D ἀλλ' οὖν μὴ δυνηθῶσιν εἰπεῖν οἱ παῖδες, οἵτινες ‖ ἐτιμήθησαν παρὰ τοῦ πατρὸς ταῖς ἀμέτροις δωρεαῖς, ὡς ὅτι (b) ἀρκούμεθα ἐν ταύταις ταῖς δωρεαῖς καὶ οὐ θέλομεν (c) πλέον τι τοῦ πατρικοῦ κλήρου (3)· ἡμεῖς γὰρ

(a) *Cod.* ἀνάγκειν (b) *Cf. XXIII, 28.* (c) *Cod.* ϑέλωμεν

functi et funeris impensae et manumissorum servorum pretia, et quod reliquum est quantum sit computetur: hoc enim purum esse patrimonium statutum est et huius tertia pars liberis servatur.

3. Si quis alicui ex liberis suis immodicam donationem largitus est, necesse habet pater ut in hereditatis divisione tantam cuique liberorum ex lege portionem servet, quanta erat antequam pater donationem liberis ea ipsa honoratis fecisset. Si enim ita pater fecerit, de donationibus liberi non quaerantur, cum partem ex legibus debitam ex omni paterna substantia consecuti sint, ipsiusque mensura in tantum aucta sit, in quantum patris bona habebant priusquam donationibus minuerentur. Liberi autem, qui immodicis donationibus a patre honorati, dicere nequeunt: « con-

(1) *Proch. Bas.* XXXII, 3: « Ἐπὶ « τοῦ φαλκιδίου δεῖ ἐξαιρεϑῆναι τὰ ἐπο- « φληϑέντα ὑπὸ τ. τελευτήσαντος, καὶ τὴν « περὶ τὴν κηδείαν δαπάνην κ. τ. τιμή- « ματα τ. ἐλευϑερωϑέντων οἰκετῶν, κ. « λοιπὸν τὸ ὑπόλοιπον σκοπεῖν, ὁπόσον « ἐστί· τοῦτο γὰρ νομίζεται καϑαρὰ οὐ- « σία, κ. ταύτης τὸ τρίτον παρακατέ- « χεται ».

(2) *Proch. Bas.* XXXII, 4: « ... οὕτω « γὰρ οὐδὲν ἔτι ἐγκαλοῦϑιν, ἔχοντες μὲν ἐπὶ « πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν « νόμων, κατὰ τοσοῦτον δὲ αὐξομένου » &c.

(3) *Proch. Bas.* loc. cit.: « οὐ δυνα-

οὐκ ἀναγκάζομεν αὐτοὺς ἵνα μείνωσι καὶ ἀρκεσθῶσιν ἐν ταῖς δωρεαῖς μόναις, ἀλλ' ἵνα δέχωνται τὸν κλῆρον αὐτῶν, καὶ ἀνάγκην ἐχέτωσαν πᾶσι τρόποις συνεισφέρειν τὸ διαφέρον ἀπὸ τῶν δωρεῶν, καὶ ἴσα ἔχειν τῶν ἑτέρων ἀδελφῶν, ὥστε μὴ ἔλαττον καὶ ὀλιγώτερον αὐτοὺς τῶν χρεωστουμένων αὐτοῖς παρὰ τοῦ νόμου διὰ τὴν γεναμένην ἀμετρίαν τῶν δωρεῶν ἔχειν (1). πρέπει γὰρ τὸν πατέρα φρονεῖν ὅμοια περὶ τοὺς παῖδας αὐτοῦ, καὶ τοῖς παρ' αὐτοῦ μᾶλλον ἀγαπωμένοις πλέον χαρίσασθαι, καὶ μὴ βλάψειν (a) τοὺς ἄλλους παῖδας διὰ τὴν ἀμετρίαν τῶν δωρεῶν τῶν εἰς τοὺς ‖ ἄλλους παῖδας (b) ..... τὸ ἡμέτερον θέλημα (2). c. 50 A
ταῦτα τοίνυν λέγομεν περὶ τῶν παίδων τῶν ποθουμένων αὐτοῖς τοῖς πατράσιν, οὐ μὴν περὶ τῶν ἀγνωμόνων υἱῶν ταῦτα λέγομεν, καὶ οἷς ὁ πατὴρ ἐπάγει δικαίαν καὶ νόμιμον ἀχαριστίαν. εἰ γὰρ τοῦτο φανεῖ

(a) καὶ μὴ βλάψειν] *Così il Cod.* *Il Proch. Bas. XXXII, 4, offre* βλάψαι (b) *Il Cod. ripete le parole* διὰ τὴν – ἄλλους παῖδας *e dopo queste aggiunge* ᾗ'ναι *Il Proch. Bas. loc. cit. suggerisce il verbo* παραβῆναι

« tenti hisce donationibus sumus nec quidquam amplius ex paterna « volumus hereditate ». Non enim nos eos manere et donationibus solis contentos esse, sed hereditatem suam adire cogimus (?) necessitatemque habere omnibus modis donationum differentiam conferendi et aequalia cum aliis fratribus habendi, ita ut illi minorem paucioremque legitimam, propter modum in donationibus non servatum, non habeant. Licet enim patri similia de liberis suis sentire et iis, quos magis diligit, amplius largiri, modo autem alios liberos per immodicas erga alios largitates non laedat et voluntatem nostram (transgrediatur ?). Haec autem dicimus de liberis erga parentes ipsos gratis, non item de ingratis liberis haec dicimus et quibus pater iustam ac legitimam ingratitudinem obicit. Si enim

« μένων τῶν ἐπὶ ταῖς δωρεαῖς τετιμημένων « παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς « ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ « ἀφίστασθαι τοῦ πατρῴου κλήρου ».

(1) Loc. cit.: « ἀλλ' οὐκ ἀναγκαζο- « μένων μέν, εἰ ἀρκοῦνται ταῖς δωρεαῖς, « καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ « ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς « ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθόσον « εἰρήκαμεν μέτρον, ὥστε μὴ ἔλαττον « αὐτοὺς ἔχειν τὸ ἐκ νόμων αὐτοῖς ὀφει- « λόμενον διὰ τὴν γενομένην ἐπὶ ταῖς « δωρεαῖς ἀμετρίαν ».

(2) Loc. cit.: « ὅπουγε ἔξεστι τῷ πα- « τρί, μέτρια φρονήσαντι περὶ τὴν πᾶσαν « γονήν, καὶ τοῖς..., καὶ μὴ τοῦς λοι- « πούς... βλάψαι, καὶ τὸν ἡμέτερον « παραβῆναι σκοπόν ».

οὕτως ἔχον καὶ ἀποδειχθῶσιν αἱ ἀφορμαὶ τῆς ἀχαριστίας, ἔστωσαν κείμενα τὰ προστάγματα τῶν νόμων τὰ ἐπὶ τοῖς ἀχαρίστοις, οὐδὲν ἐλαττούμενα ἐκ ταύτης τῆς ἡμῶν νομοθεσίας (1).

Τίτλος κη.

Περὶ ἀποκλήρων.

1. Ἐάν τις τοῖς ἰδίοις πατράσι χεῖρας ἐπιβάλοι (a), ἢ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν ἐπάγει αὐτοῖς, ἢ κατηγορήσῃ αὐτοὺς ἐπὶ ἐγκληματικῆς αἰτίας τῆς μὴ οὔσης κατὰ τῆς βασιλείας ἢ πολιτείας, ἢ μετὰ φαρμάκων (b) συναναστρέφεται ὡς ‖ φάρμακος (c), ἢ πειραθείη τῇ ζωῇ τῶν ἰδίων γονέων ἐπιβουλεῦσαι διὰ φαρμακείας ἢ ἄλλῳ τρόπῳ τινί, τὸν τοιοῦτον παῖδα ἀπόκληρον ὑπάρχειν θεσπίζομεν (2).

c. 50 B

2. Ὁμοίως, ἐὰν ὁ υἱὸς μίξῃ ἑαυτὸν τῇ ἰδίᾳ μητρυιᾷ ἢ παλλακίδι

(a) *Cod.* ἐπὶ βάλοι (b) φαρμάκων] *Così il Cod.* (c) φάρμακος] *Così il Cod.*

hoc ita se habere appareat et ingratitudinis causae probentur, rata sint quae in legibus de ingratis statuuntur, et nihil ex hac nostra constitutione minuantur.

Titulus XXVIII.

De exheredibus.

1. Si quis parentibus suis manus intulerit, aut gravem et indignam contumeliam eis ingesserit, aut in criminali causa eos accusaverit, quae non sit adversus principatum aut rempublicam, aut cum veneficis ut veneficus conversetur, aut parentum suorum vitae veneficiis vel alio modo insidias struxerit, hunc filium exheredem esse statuimus.

2. Pariterque, si filius novercae suae aut patris sui concu-

(1) Loc. cit.: « ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς » &c.
(2) Cf. *Proch. Bas.* XXXIII, 1.

τοῦ πατρὸς αὐτοῦ· ἐὰν γένηται συκοφάντης κατὰ τῶν ἰδίων γονέων καὶ ποιήσῃ αὐτοὺς ὑπομεῖναι βαρείας ζημίας διὰ τῆς ἰδίας καταμηνύσεως (1).

3. Ἐὰν οἱ παῖδες ἀμελήσωσι τῶν ἰδίων γονέων κειμένων ἐν ἀσθενείᾳ χρόνων πολλῶν ἢ ἐν γήρει (a) καὶ ἀδυναμίᾳ πολλῇ καὶ μὴ ποιήσωσιν αὐτοῖς φροντίδα, καὶ μετακαλούμενοι παρὰ τῶν ἰδίων γονέων μὴ βουληθεῖεν αὐτοὺς ἐπιμελείας ἀξιῶσαι (2).

4. Ἐὰν συμβῇ κληθῆναί (b) τινα τῶν γονέων, οἱ δὲ παῖδες ἐξ ἀδιαθέτου τοῦτον κληρονομεῖν δυνάμενοι μὴ θελήσωσιν ὑποδέξασθαι αὐτὸν εἰς τὴν ἐγγύησιν αὐτῶν, ἢ ὑπὲρ τοῦ προσώπου αὐτῶν ἢ ὑπὲρ c. 50 c
χρέους, εἰς ὅσον ἀποδείκνυται ὁ αἰτούμενος ἐπιτήδειος (c) εἶναι. τοῦτο τοίνυν, ὅπερ ἐπὶ τῆς ἐγγυήσεως ἐθεσπίσαμεν, εἰς τοὺς ἄῤῥενας παῖδας καθεῖσθαι (d) βουλόμεθα (3).

5. Εἰ δὲ ἐλεγχθῇ τις τῶν παίδων, ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιῆσαι διαθήκην, ἄδειαν ἐχέτωσαν ὑπὲρ τῆς τοιαύτης αἰτίας ἀπόκληρον ποιῆσαι τὸν παῖδα, ὅστις ἐκώλυσε ποιῆσαι αὐτοὺς διαθήκην ὑπὲρ τῆς

(a) γήρει] *Così il Cod.* (b) *Cod.* κλησθῆναι (c) *Cod.* ἐπιτήδιος (d) *Cod.* κατεῖσθαι

binae se miscuerit; si delator contra parentes suos exstiterit et per suam delationem gravi eos damno subiacere fecerit.

3. Si filii parentes suos in longa infirmitate aut in senectute et magna impotentia iacentes neglexerint eisque nullam curam adhibuerint et a parentibus suis rogati eos providentia sua dignari noluerint.

4. Si quem ex parentibus carcere includi contingat, et liberi, qui ab intestato ei succedere possunt, eum in fideiussionem suam recipere noluerint, vel pro persona vel pro debito, in quantum qui rogatus est idoneus esse probatur. Hoc autem, quod de fideiussione censuimus, ad masculos liberos volumus pertinere.

5. Si quis ex liberis convincatur parentes suos prohibuisse, quominus testamentum conderent, potestatem ex hac causa habeant filium exheredandi, qui eos testamentum facere prohibuit

(1) Cf. *Proch. Bas.* XXXIII, 2, 3.

(2) *Proch. Bas.* XXXIII, 4: « Εἰ « ἐν ἀσθενείᾳ χρονίᾳ κατακειμένων αὐ« τῶν ἢ γήρᾳ καὶ ἀδυναμίᾳ καταντη« σάντων αὐτῶν, ἀμελήσειαν τῆς τού« των φροντίδος οἱ παῖδες καὶ μετακαλού« μενοι » &c.

(3) Cf. *Proch. Bas.* XXXIII, 5.

τοιαύτης αἰτίας (1). εἰ (a) δὲ ἐν αὐτῇ τῇ κωλύσει τελευτήσει τις τῶν γονέων χωρὶς διαθήκης, καὶ ἄλλοι ὑπεισέρχονται εἰς τὴν κληρονομίαν τοῦ τελευτήσαντος, εἴτε ἐξ ἀδιαθέτου ἢ μετὰ τοῦ παιδὸς τοῦ κωλύσαντος γενέσθαι τὴν διαθήκην ἢ οἱ καλούμενοι μετ' αὐτόν, εἴτε οὓς (b)
c. 50 D κληρονόμους ἔχειν ἐβούλοντο, εἴτε οἱ βλάβην τινὰ ὑπομείναντες ἐκ τῆς κωλύσεως τοῦ μὴ γενέσθαι τὴν διαθήκην, τοῦτο αὐτὸ ἀποδείξαιεν, καὶ αὐτὸν ἀπόκληρον γενέσθαι θεσπίζομεν (2). οὐ μόνον δὲ κατὰ τοῦτον τὸν τρόπον ὁ παῖς ἀπόκληρος γίνεται, ἀλλ' εἴγε παρὰ γνώμην καὶ παρὰ τὸ θέλημα τῶν γονέων μίμοις ὁ υἱὸς ἑαυτὸν συναριθμήσει καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμείνοι, εἰ μὴ τυχὸν οἱ γονεῖς αὐτοῦ γεγόνασι τοιαύτης τέχνης (3).

6. Ἐάν τις τῶν γονέων θελήσῃ δοῦναι ἄνδρα καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας (c) τῇ ἰδίᾳ θυγατρὶ ἢ τῇ ἐγγόνῃ αὐτοῦ,

(a) *Cod.* ἐν (b) *Cod.* τοὺς (c) *Il Cod. ha* θυγατρὸς

hac de causa. Quod si in ipsa prohibitione quis ex parentibus sine testamento decesserit, et alii ad defuncti hereditatem vocentur, sive ab intestato aut cum filio, qui testamentum fieri prohibuit, aut post eum vocati, sive quos heredes habere voluit, sive qui damno aliquo ex testamenti prohibitione afficiuntur, (et) hoc demonstraverint, ipsum quoque exheredem esse iubemus. Non solum autem hoc modo filius exheres fit, sed etiam si citra parentum sententiam ac voluntatem mimis sese filius aggregaverit et in hac professione permanserit, nisi forte parentes eiusdem artis fuerint.

6. Si quis parentum maritum ac dotem secundum substantiae suae vires propriae filiae aut nepti dare voluerit, et illa

(1) *Proch. Bas.* XXXIII, 6: « Εἰ « ἐλεχθείη τις τῶν παίδων, ὅτι ἐκώλυσε « τ. ἰδίους γονεῖς ποιήσασθαι δ., ὥστε « εἰ μὲν μετὰ ταῦτα διαθήκην « ποιήσασθαι δυνηθεῖεν, ἄδειαν « αὐτοῖς εἶναι » &c.

(2) Loc. cit.: « εἰ δὲ..., καὶ ἄλ- « λοι, εἴτε ἐξ ἀδ. εἰς τ. τοῦ τελευτή- « σαντος κληρονομίαν ἢ μετὰ τ. παιδὸς « τοῦ τ. δ. γ. κ. ἢ οἱ μετ' αὐτὸν κα- « λούμενοι, εἴτε οὓς κληρονόμους ἔχειν « ἠβούλοντο, εἴτε οἱ βλ. τινὰ ἐκ. τ. κ. τ. « διαθήκης ὑπομείναντες. τοῦτο αὐτὸ ἀπο- « δείξαιεν, καὶ οὕτως ἀπόκληρον γενέσθαι « αὐτόν ».

(3) *Proch. Bas.* XXXIII, 7: « Οὐ « μόνον ἀλλὰ καὶ εἰ παρὰ γνώμην τ. « γονέων » &c.

καὶ ἐκείνη μὴ συναρέσει δοῦναι προῖκα ὑπὲρ αὐτῆς, ἀλλὰ θελήσει διάγειν αἰσχρὸν καὶ ἄσωτον βίον, καὶ οὕτως [a] αὕτη ἀπόκληρος γίνεται [1].

7. Ἐὰν μανῇ τις πατὴρ καὶ οἱ παῖδες αὐτοῦ δουλείαν καὶ φροντίδα τὴν προσήκουσαν αὐτῷ μὴ παράσχοιεν, ‖ ἢ, παίδων μὴ ὑπαρχόντων, ἄλλοι c. 51 A
συγγενεῖς αὐτοῦ, οἵτινες ἐξ ἀδιαθέτου καλοῦνται, καὶ εἰ μὲν ἀπαλλαγῇ τῆς τοιαύτης νόσου, ἔστω αὐτῷ ἄδεια ὁπότερον [b] θελήσῃ γράψαι ἐν τῇ ἰδίᾳ διαθήκῃ, τὸν παῖδα ἀχάριστον ἢ τοὺς παῖδας ἢ τοὺς ἀμελήσαντας συγγενεῖς [2]. εἰ δὲ ἐξωτικός τις ἰδὼν αὐτὸν ἀμελούμενον παρὰ τῶν ἰδίων παίδων ἢ συγγενῶν ἢ ἄλλων τῶν ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, διὰ συμπάθειαν θελήσει αὐτοῦ φροντίσαι, παρέχομεν αὐτῷ ἄδειαν στέλλειν ἔγγραφον διαμαρτυρίαν τοῖς καλουμένοις ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης τῆς γεναμένης ἤδη παρ' αὐτοῦ, ἵνα σπουδάσωσιν εἰς τὴν ἐπιμέλειαν τοῦ ὑπὸ τῆς μανίας κρατουμένου πατρὸς

(a) *Cod.* οὕτο; (b) *Cod.* ὁπροτερὸν

dotem sibi dari non consenserit, sed turpem inhonestamque vitam agere maluerit, et ipsa exheredatur.

7. Si pater aliquis furiosus sit eiusque liberi obsequium et curam competentem ei non tribuerint, aut, liberis non exstantibus, alii ipsius cognati, qui ab intestato vocantur, si quidem a tali infirmitate liberatus fuerit, licentia ei sit, utrum velit, in suo testamento filium ingratum vel filios aut negligentes cognatos scribere. Quod si extraneus quis, videns eum ab illius liberis vel cognatis vel aliis ab eo heredibus scriptis neglectum, pro miseratione curam eius suscipere voluerit, licentiam ei damus scriptam attestationem iis dirigendi, qui ab intestato aut ex testamento iam pridem ab eo confecto vocantur, ut curam patris eorum furore perciti gerere festinent. Et si post huiusmodi attestationem adhuc

(1) *Proch. Bas.* XXXIII, 8: « Εἴ τινι « ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ... « μὴ συναρέσῃ, ἀλλ' αἰσχρὸν βίον διάγειν « ἐπιλέξηται ».

(2) *Proch. Bas.* XXXIII, 9: « Εἴ τις « ἐκ. τ. εἰρ. γον. μανείη κ. οἱ π. αὐ. ἢ « τινες ἐξ αὐτῶν, ἢ παίδων αὐτῷ μὴ « ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγ. οἱ ἐξ ἀδ. « εἰς τὸν αὐτοῦ κλῆρον καλούμενοι, « ὑπηρεσίαν κ. φροντίδα προσήκουσαν « αὐτῷ μὴ παράσχοιεν, εἰ μὲν τ. τοιαύτης « ἀπαλλαγῇ νόσου » &c.

αὐτῶν. καὶ εἰ μὲν ἀμελήσουσι μετὰ τὴν τοιαύτην διαμαρτύρησιν, καὶ
c. 51 B ὁ ἐξωτικὸς (a) ὑποδέξοιτο τὸν μεμηνότα (b) ἐν τῷ ‖ οἴκῳ αὐτοῦ καὶ φροντίσοι τῆς ζωῆς αὐτοῦ οἰκείοις δαπανήμασιν ἄχρι τῆς ζωῆς τοῦ μεμηνότος, εἰ καὶ τάχα ἐξωτικὸς ὑπάρχει, ἀλλ' οὖν θεσπίζομεν τοῦτον εἰς τὴν κληρονομίαν αὐτοῦ εἰσέρχεσθαι, ἀνατρεπομένης τῆς ἐνστάσεως αὐτῶν, διότι ἀνάξιοι ηὑρέθησαν τῆς τοιαύτης δωρεᾶς, μὴ ποιήσαντες μέριμναν τοῦ ἰδίου, τοῦ ἑαυτῶν (c), γονέως· ἀλλ' ὅμως τοῦτο θεσπίζομεν, ἵνα μένωσι τὰ ἄλλα προστάγματα τῆς διαθήκης δυνατὰ καὶ ἄθραυστα (1).

8. Ἐὰν συμβῇ καὶ (d) κρατηθῇ εἰς αἰχμαλωσίαν εἷς τῶν γονέων, καὶ οἱ παῖδες αὐτῶν (e) εἴτε πάντες εἴτε εἷς ἐξ αὐτῶν μὴ σπουδάσοι τοῦτον ἐξαγορᾶσαι, καὶ εἰ μὲν δυνηθῇ ὁ γονεὺς ἐκφυγεῖν τὴν συμφορὰν τῆς αἰχμαλωσίας, ἵνα ἔσωνται οἱ παῖδες εἰς τὴν ἐξουσίαν αὐτοῦ, καί, εἰ θελήσει, δύναται εἰπεῖν τὴν αἰτίαν τῆς ἀχαριστίας (f) ἐν τῇ διαθήκῃ (2).

(a) *Cod.* ἐξοτικὸς (b) *Cod.* μεμινότα (c) τοῦ ἑαυτῶν] *Glossa.* (d) *Cf. XXIII, 2.* (e) *Così il Cod.* αὐτοῦ? (f) *Cod.* ἀχαρίστϊας

negligentes exstiterint et extraneus furiosum in domum suam receperit eiusque vitae curam, donec furiosus vixerit, propriis expensis gesserit, licet plane extraneus sit, volumus tamen, ut is hereditatem illius adeat, eversa eorum institutione, cum indigni huiusmodi donatione inventi sint, nullam curam genitori suo adhibentes: at pariter volumus, ut reliqua testamenti capita valida et stabilia permaneant.

8. Si contingat, ut unus parentum in captivitate detineatur, eiusque liberi vel omnes vel saltem unus eum redimere non festinaverint, si quidem captivitatis calamitatem pater effugere poterit, liberi in eius sint potestate, et si velit, in testamento ingratitudinis causam dicere potest.

(1) Cf. loc. cit. Non v'è che qualche differenza nella collocazione delle parole.

(2) *Proch. Bas.* XXXIII, 10: « Καὶ « ἐὰν δὲ ἕνα τ. προλεχθέντων γονέων ἐν « αἰχμ. κρατεῖσθαι συμβαίη..., ἐν τῇ « αὐτοῦ εἶναι ἐξουσίᾳ, πότερον « ταύτης ἀχαριστίας αἰτίαν τῇ « ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ « ἢ καὶ μή ». Il nostro, come vedesi, ha cangiato alquanto il senso di queste ultime frasi.

9. Εἰ (a) δὲ μὴ ἐλευθερωθῇ ἀπὸ τῆς αἰχμαλωσίας ὑπὸ τῆς ἀμε- c. 51 c
λείας τῶν παίδων, καὶ τελευτήσει ἐν τῇ αἰχμαλωσίᾳ, οὐ θέλομεν ἵνα ἔλθωσιν οἱ παῖδες αὐτοῦ εἰς τὴν διαδοχήν, διότι οὐκ ἐσπούδασαν ἐλευθερῶσαι τὸν πατέρα αὐτῶν ἀπὸ τῆς αἰχμαλωσίας. ἀλλ' εἰ μὲν πάντες οἱ παῖδες αὐτοῦ ἠμέλησαν περὶ τῆς ἐλευθερίας, πάντα τὰ πράγματα αὐτῶν (b) θεσπίζομεν δοθῆναι τῇ ἐκκλησίᾳ τῆς πόλεως ἐκείνης, ἐν ᾗ μένουσιν· ἀλλ' ὅμως ἵνα γένοιτο τοῦτο ὑπὸ γραφῆς καὶ μαρτυρίας τοῦ δημοσίου, ἵνα μηδὲν ἀποτελεσθῇ ἐκ τῆς ὑποστάσεως τοῦ τελευτήσαντος ἐν τῇ αἰχμαλωσίᾳ, ἀλλ' ἵνα παρέξῃ ταῦτα ἡ ἐκκλησία εἰς ἐλευθερίαν αἰχμαλώτων (1). εἰ δὲ ἐκεῖνος, ὅστις ἐκρατήθη αἰχμάλωτος, μὴ ἔχοι παῖδας, ἀλλά τινας ἄλλους, οἵτινες καλοῦνται ἐξ ἀδιαθέτου εἰς τὴν κληρονομίαν ἐκείνου, οἵτινες ἐὰν ἀμελήσασι (c) καὶ αὐτοὶ εἰς τὸ ἐλευ- c. 51 D
θερῶσαι αὐτὸν ἀπὸ τῆς αἰχμαλωσίας, ἐκ τούτων βουλόμεθα ἵνα μηδεὶς

(a) *Cod.* ἡ *in rosso.* (b) *Così il Cod.* αὐτοῦ? (c) *Così il Cod.*

9. Sin autem a captivitate per liberorum negligentiam non fuerit liberatus, et in captivitate morietur, non volumus, ut liberi eius ad successionem veniant, quippe qui curam patris a captivitate redimendi non habuere. Sed si omnes eius liberi eum redimere neglexerint, statuimus, ut omnia illius bona ecclesiae urbis, in qua sita sunt, tradantur; ita tamen ut hoc fiat inventario et attestatione publica interveniente, ne quidquam ex substantia defuncti in captivitate pereat, sed ecclesia eam ad captivos redimendos impendat. Si vero ille qui captivus detinetur liberos non habet, sed (parentes) quosdam alios, qui ab intestato ad illius successionem vocantur, iique eum a captivitate liberandi nullam curam adhibent, volumus, ut nemo ex ipsis ad eius successionem veniat,

(1) Loc. cit.: « εἰ δὲ διὰ τῆς τῶν παί- « δων ἀμελείας κ. καταφρονήσεως « μὴ ἐλευθερωθείη..., καταγραφῆς δη- « λαδὴ ἐπὶ δημοσίου ἐκμαρτυρίου γενομέ- « νης, ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας « παραπολέσθαι, ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν « εἰς τὴν ἐκκλησίαν περιέλθοι εἰς ἀνάρ- « ρυσιν προχωρεῖν ». Indi il *Proch. Bas.* continua: « ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ « τοῖς προσώποις εἴρηται, ἅπερ ἀπὸ κλη- « ρονόμων ποιεῖν οὐκ ἔξεστιν, εἰ μὴ τὰ τῆς « ἀχαριστίας γραφῆναι καὶ ἀποδειχθῆναι « συμβαίη ». Il nostro ha tralasciato questa osservazione di metodo ed ha riunito in questo capo solo anche ciò, che nel *Proch. Bas.* forma i capitoli seguenti 11 e 12. Cf. però *Epanag.* XXXIV, 5.

ἔλθοι εἰς τὴν κληρονομίαν αὐτοῦ, εἰ καὶ τάχα ἐγένετο παρ' αὐτοῦ διαθήκη πρὶν ἢ [a] αὐτὸν κρατηθῆναι αἰχμάλωτον, ἐν ᾗ ἔγραψε κληρονόμους τὰ μνημονευθέντα πρόσωπα. ἀλλ' ὅμως καὶ ἐνταῦθα καταλύεται [b] ἡ ἔνστασις τῶν κληρονόμων, τὰ ἕτερα κεφάλαια τῆς διαθήκης θέλομεν ἵνα μένωσιν ἐν τῇ ἰδίᾳ δυνάμει. εἰ δὲ ὁ αἰχμάλωτος τελευτήσει ἐν τῇ αἰχμαλωσίᾳ, τὰ πράγματα αὐτοῦ, ὡς προείπομεν, ἵνα δοθῶσι τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἐν ᾗ ἐγεννήθη, ἅτινα θέλομεν ἵνα μὴ δοθῶσι καὶ ἐξοδιασθῶσιν εἰ μὴ εἰς ἐλευθερίαν τῶν αἰχμαλώτων καὶ τὴν ψυχὴν τοῦ τελευτήσαντος ἐν τῇ αἰχμαλωσίᾳ ἐπικουφίζεσθαι
c. 52 A τῆς αἰωνίου ‖ κολάσεως διὰ ταύτης τῆς εὐσεβοῦς πράξεως [1]. τοῦ τοιούτου φυλαττομένου προστάγματος, κἂν ἄλλον ἐξωτικὸν ἔγραψε κληρονόμον, θεσπίζομεν ἵνα τοῦτον ἐλευθερώσῃ ἀπὸ τῆς αἰχμαλωσίας·

(a) *Cod.* πριν ἢ (b) *Cod.* κατάλῦσται

etsi testamentum, priusquam in captivitate incideret, ab eo conditum sit, in quo dictas personas heredes inscripserit. Sed itidem et tunc heredum institutio rescinditur; reliqua vero testamenti capita in suo robore manere iubemus. Quod si captivus in captivitate decesserit, res eius, uti praediximus, ecclesiae urbis, in qua natus est, tradantur, neque volumus ut ipsae dentur et expendantur, nisi in captivorum redemptionem et ad animam illius, qui in captivitate mortuus, religioso hoc actu ex aeterna castigatione sublevandam. Hic idem ordo observandus est, etsi alium extraneum heredem scripserit; sancimus enim ut hunc a captivitate redimat, et, si ille quoque negligens fuerit, in eum poenam ipsam valere iubemus, si decimum et octavum aetatis annum impleverit.

(1) *Proch. Bas.* XXXIII, 11: « Εἰ δὲ « ἐκεῖνος ὁ ἐν αἰχμαλωσίᾳ ληφθεὶς παῖ- « δας μὴ ἔχοι, κ. τῶν ἄλλων τῶν εἰς τὴν « τούτου κληρονομίαν καλουμένων ἐξ ἀδ. « ἀναῤῥύσασθαι αὐτὸν μὴ σπουδαζόντων, « ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι, μηδένα « ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου « κληρονομιαν ἔρχεσθαι, εἰ καὶ πρὸ τῆς « αἰχμαλωσίας... ἀλλὰ καὶ ἐνταῦθα τῆς « ἐνστάσεως τ. κληρονόμων ἀκυρουμένης « κ. τ. λοιπῶν τῆς διαθήκης κεφα- « λαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύει, αἱ « περιουσίαι τ. τοιούτων προσώπων κατὰ « τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τ. « πόλεων, ἐξ ὧν ὥρμηνται, προσκυρού- « σθωσαν· καὶ μὴ ἐν ἄλλαις οἰαισοῦν « αἰτίαις, ἀλλ' ἐν ταῖς τ. αἰχμαλώτων « ἀναῤῥύσεσι δαπανᾶσθαι, ὥστε δεῖν « ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνεῤῥύσθησαν, « τὰς ἄλλων ἀναῤῥύσεις φροντίζεσθαι, κ. « τὰς ἐκείνων ὁμοίως ψυχὰς ἐκ ταύτης τῆς « εὐσεβοῦς πράξεως ἐπικουφίζεσθαι ».

εἰ δὲ καὶ ἐκεῖνος ἀμελήσει τοῦ πράγματος, καὶ κατ' ἐκείνου θεσπίζομεν ἵνα ἡ ποινὴ αὕτη κρατηθῇ, ἐὰν ἐπλήρωσε τὸν ὀκτὼ καὶ δέκατον χρόνον τῆς ἡλικίας (1). εἰ δὲ ἀναγκαῖον ὑπάρχει δοθῆναι χρήματα ὑπὲρ τῆς ἐλευθερίας τοῦ ἐν αἰχμαλωσίᾳ, καὶ μὴ ἔχοι τι δοῦναι, ἄδειαν ἐχέτω ὁ κληρονόμος αὐτοῦ, ἐὰν ὑπάρχῃ δέκα ὀκτὼ ἐτῶν, ἵνα δανεισθῇ ταῦτα καὶ ὑποβαλεῖ (a) κινητὰ ἢ ἀκίνητα πράγματα, εἴτε ἴδια ἔχει πράγματα, εἴτε τοῦ ὑπάρχοντος ἐν αἰχμαλωσίᾳ. καὶ γὰρ κελεύομεν βέβαια (b) εἶναι ὅσα γίνονται καὶ δίδονται εἰς ἐλευθερίαν αὐτῶν, εἰ ‖ τάχα ὑπεξούσιός ἐστιν ὁ ταῦτα ποιήσας, καὶ μηδεμίαν κατάκρισιν ἵνα ἔξοι ὁ ταῦτα ποιήσας, ἀλλὰ μᾶλλον, μετὰ τὸ ἐλευθερωθῆναι ἀπὸ τῆς αἰχμαλωσίας, χάριν ὁμολογῆσαι αὐτῷ ὑπὲρ τῆς τοιαύτης φροντίδος καὶ ἐνέχεσθαι αὐτὸν ὥσπερ τῷ ἰδίῳ χρέει (2). c. 52 B

10. Ἐάν τις τῶν γονέων ὀρθόδοξος ὑπάρχων νοήσῃ τὸν παῖδα

(a) *Così il Cod.* (b) *Cod.* βεβαίαν

Quod si necesse sit pecuniam ad captivum redimendum erogari, et unde det non habeat, licentia eius heredi sit, si decem et octo sit annorum, aeris alieni contrahendi et res mobiles vel immobiles obligandi, sive suas habeat, sive illius, qui in captivitate degit. Volumus enim, ut quaecumque ad eorum redemptionem fiunt et dantur firma sint, licet non sui iuris sit qui haec gerit, et nullam condemnationem sustineat qui ita agit; quin potius, postquam a captivitate liberatus est, gratias ei ob huiusmodi curam agat et tanquam proprio debito teneatur.

10. Si quis parentum, cum ipse sit orthodoxus, intelligat

(1) *Proch. Bas.* loc. cit.: « τούτου « αὐτοῦ παραφυλαττομένου » &c.

(2) *Proch. Bas.* XXXIII, 12: « Ἐν « δὲ ταῖς τοιαύταις αἰτίαις ἡνίκα ὑπὲρ « ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖόν ἐστι « χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι « χρήματα, ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρη- « μένης ὑπάρχῃ ἡλικίας, δανείζεσθαι χρή- « ματα, κ. πράγματα κινητὰ ἢ ἀκίνητα « ὑποτίθεσθαι, εἴτε ἴδια ἔχοι, εἴτε τὰ τοῦ « ἐν αἰχμαλωσίᾳ κρατουμένου· ἐπειδὴ « ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς « ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων « δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικ- « νυμένοις τὰ τοιαῦτα συναλλάγματα « ὡς παρὰ προσώπου αὐτεξουσίου κ. τε- « λείας ἡλικίας ὄντος γενόμενα βέβαια « εἶναι παρακελευόμεθα· μηδενὸς τοῖς « μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς « μνημονευθείσαις αἰτίαις, καθάπερ εἴρη- « ται, συναλλάττουσι προκρίματος γινο- « μένου, ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ « τῆς αἰχμαλωσίας ἐπανερχομένου τὰ τοι- « αῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι « καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέ- « χεσθαι ».

αὐτοῦ μὴ εἶναι τῆς καθολικῆς πίστεως μηδὲ κοινωνεῖν ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθόδοξον πίστιν (a) ἐκήρυξαν, καὶ τὰς ἁγίας ζ' συνόδους, τὴν ἐν Νικαίᾳ τὴν πρώτην, τὴν ἐν Ἐφέσῳ, τὴν ἐν Χαλκηδόνι, τὴν ἐν Κωνσταντινουπόλει περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμένουσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ ἀπιστίᾳ (b), δίδομεν ἄδειαν εἰς τοὺς
c. 52 c πατέρας αὐτῶν ἵνα γράψωσιν αὐτοὺς ἐν τῇ διαθήκῃ ἀχαρίστους ὑπὲρ τῆς τοιαύτης αἰτίας (1).

11. Κελεύομεν δὲ τοὺς πατέρας ἵνα δόσωσι τοῖς παισὶν αὐτῶν ὁμοίαν καὶ ἴσην (c) πρόνοιαν, ἀλλ' ὅμως ἵνα φυλαχθῇ ὁ νόμος ὃν εἴπομεν περὶ τῶν αἱρετικῶν, οὓς λέγομεν νεστοριανοὺς καὶ ἀκεφάλους καὶ ἰακωβίτας καὶ μονοθελίτας καὶ εἰκονομάχους (2)· καὶ εἰ μὲν εἷς πατὴρ εὑρεθῇ ὑπάρχειν τῆς τοιαύτης αἱρέσεως, κελεύομεν ἵνα μὴ ἔχῃ ἄδειαν

(a) *Cod.* πίστην (b) *Cod.* ἀπιστεία (c) *Cod.* ἴσιν

filium suum catholicae fidei non esse neque in sanctissima ecclesia communicare, in qua omnes beatissimi patriarchae uno spiritu ac consensu orthodoxam fidem praedicavere, et sanctas VII. synodus, Nicaenam primam, Ephesinam, Chalcedonensem, Cpolitanam amplecti et tueri deprehenduntur, et liberi in infidelitate perseverent, parentibus eorum licentiam damus eos in testamento hac de causa ingratos scribere.

11. Volumus autem, ut parentes liberis suis eamdem et aequalem curam adhibeant, sed pariter ut servetur lex, quam de haereticis dicimus, quos Nestorianos et Acephalos et Iacobitas et Monotheletas et Iconomachos vocamus; et si pater quis huiusce haereseos esse inveniatur, iubemus eum licentiam non habere

(1) *Proch. Bas.* XXXIII, 13: « ... τὰς « ἁγίας ἑπτὰ συνόδους, τὴν ἐν νικαίᾳ πρώ- « την, τὴν ἐν κωνστ. πρώτην, τ. ἐ. ἐφέσῳ « πρ., τ. ἐ. χαλκ., τ. ἐ. κωνστ. δευτέραν; « ὡσαύτως καὶ τ. ἐ. κωνστ. τρίτην, καὶ « τ. ἐ. νικαίᾳ τὸ δεύτερον » &c. Il nostro, per brevità, riferisce solo i nomi delle quattro città, nelle quali si radunarono i sette concili.

(2) *Proch. Bas.* XXXIII, 14: « Γενι- « κὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδό- « ξοις παρέχοντες κελεύομεν, σῴων φυλατ- « τομένων τῶν νόμων τῶν ἤδη περὶ τῶν « αἱρετικῶν προενεχθέντων κ. περὶ τοὺς « νεστοριανούς » &c. Si noti come il nostro ha travisato il principio di questo capitolo.

ἄλλους κληρονόμους ποιῆσαι, εἰ μὴ τοὺς ἰδίους· εἰ δὲ παῖδας οὐκ ἔχουσιν, ἵνα γε ᾖσι κληρονόμους τοὺς ἰδίους αὐτῶν, οὓς ἔχουσιν ἀπὸ ἀῤῥένων ἢ θηλείων ὀρθοδόξους ὑπάρχοντας (1). καὶ ταῦτα μὲν περὶ τῶν πατέρων θεσπίζομεν. περὶ δὲ τῶν παίδων κελεύομεν μὴ ἔχειν αὐτοὺς ἄδειαν ‖ καταλιμπάνειν τοὺς ἰδίους γονεῖς ἐν τῇ διαθήκῃ αὐτῶν ἄνευ τῶν c. 52 D
αἰτιῶν, ὧν ἡμεῖς ἐνθάδε λέξομεν (2).

12. Ἐὰν οἱ γονεῖς παρέδωκαν τοὺς ἰδίους παῖδας εἰς θάνατον, ἄνευ

alios heredes scribendi praeter proprios, et si filios non habent, parentes suos, quos habent ex masculis aut feminis, qui orthodoxi sint, heredes faciant. Et haec quidem de parentibus statuimus. Circa filios autem iubemus nullam eos potestatem habere parentes suos in testamento praetereundi sine causis, quas nos hic dicemus.

12. Si parentes liberos suos morti tradiderint, praeter causam

(1) Loc. cit.: « ὥστε εἴποτε γονεῖς « εὑρεθεῖεν μιᾷ τῶν ἀπηριθμημένων αἱ- « ρέσεων ἢ καὶ ἑτέρᾳ τινὶ τούτων « παραπλησίᾳ κατεχόμενοι καὶ διὰ « τοῦτο ἐκ τῆς κοινωνίας τῆς κα- « θολικῆς ἐκκλησίας κεχωρισμέ- « νοι, μὴ ἐξῇ αὐτοὺς κληρονόμους ἑαυ- « τοῖς ἐνιστᾶν, εἰ μὴ παῖδας ὀρθοδόξους « κ. τῇ καθολικῇ ἐκκλησίᾳ κοι- « νωνοῦντας, ἢ παίδων μὴ ὑπόντων « τοὺς ἐξ ἀῤῥενογονίας ἢ θηλυγονίας συγ- « γενεῖς, ὀρθοδόξους δηλαδὴ τυγχάνον- « τας ». Dalle frasi tralasciate dal nostro parrebbe che egli non fosse nè un ecclesiastico, nè uno molto tenero delle faccende religiose. Ciò potrebbe essere anche corroborato dall'osservare ch'egli non tien conto a dirittura del seguente capitolo 15 di questo titolo del *Proch. Bas.*, nel quale si fanno le ipotesi che non tutti i figli siano ortodossi, e che quelli che non sono diventino poi tali, o che siano eretici tutti, ed anche tutti gli altri parenti, per venire poi a questa conclusione: « εἰ γὰρ ὑπὲρ κοσμικῶν αἰτιῶν « μεριμνῶμεν, πόσῳ μᾶλλον ὑπὲρ τῆς τῶν « ψυχῶν σωτηρίας προνοητικωτάτην φρον- « τίδα δεῖ συνεισφέρειν; » Il nostro però non sembra fosse della stessa opinione! Gli altri due capitoli 16 e 17 del *Proch. Bas.* sono anche tralasciati dal nostro: essi però in sostanza non fanno che ripetere principî già enunziati.

(2) *Proch. Bas.* XXXIII, 18: « Καὶ « ταῦτα μεν περὶ τῶν διαθηκῶν τῶν « γονέων διετυπώσαμεν. δίκαιον δὲ « εἶναι συνείδομεν καὶ ἐκ τοῦ « ἐναντίου περὶ τῶν διαθηκῶν τῶν « παίδων τὰ αὐτὰ μετά τινος δια- « στίξεως διατυπῶσαι. θεσπίζο- « μεν τοίνυν μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς « ἰδίους γονεῖς ἀποκλήρους καταλιμ- « πάνειν, ἢ καθ' οἱονδήποτε τρόπον « τῶν ἰδίων πραγμάτων, ἐν οἷς « διατίθεσθαι ἐξουσίαν ἔχουσι, « τούτους παντελῶς ἀλλοτρίους « ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας, ἃς « ἀριθμοῦμεν, ἐν ταῖς ἰδίαις ἰδικῶς γρά- « ψοιεν διαθήκαις ».

τῆς αἰτίας τῆς λεγομένης περὶ καθοσιώσεως, τουτέστι περὶ τῆς μελέτης τῆς εἰς τὸν θάνατον τοῦ βασιλέως τῆς χώρας (1).

13. Εἰ (a) φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ τινὶ ἀποδεχθεῖεν οἱ πατέρες ἐπιμελετῶντες εἰς τὴν θανὴν τῶν παίδων αὐτῶν (2).

14. Εἰ ὁ πατὴρ συμμιγῇ τῇ ἰδίᾳ νύμφῃ ἢ τῇ παλλακίδι τοῦ ἰδίου παιδός (3), ἢ ἐὰν ὁ πατὴρ κωλύσῃ τοὺς ἰδίους παῖδας ποιῆσαι διαθήκας, οἵτινες δύνανται ἐννόμως ταύτας ποιῆσαι, φυλάττοντες τὴν νόμιμον μοῖραν τῷ πατρὶ αὐτῶν (4).

15. Ἐὰν εἰς τῶν παίδων τύχῃ ὑπὸ μανίας κρατηθῆναι καὶ οἱ
c. 53 A γονεῖς αὐτοῦ μηδεμίαν φροντίδα ποιοῦσι | περὶ ἑαυτοῦ (b), ἐκεῖνα κελεύομεν φυλάττεσθαι εἰς αὐτούς, ἅπερ ἐθεσπίσαμεν καὶ περὶ τῶν μανομένων πατέρων (5)· καὶ ἐκείνοις τοῖς δόγμασιν θεσπίζομεν τοὺς πατέρας τοὺς ἀμελοῦντας περὶ τῆς ἐλευθερίας τῶν παίδων αὐτῶν τῶν

(a) *Cod.* Ὁι *ma la prima lettera è in rosso.* (b) *Così il cod.*

de maiestatis crimine dictam, h. e. de consilio occidendi regis regionis.

13. Si veneficiis aut maleficiis aut alio quoquo modo parentes de filiis occidendis consilium agitasse ostendantur.

14. Si pater cum nuru sua aut filii sui concubina rem habuerit, aut si pater liberos suos testamenta facere prohibuerit, qui legitime ea facere possunt, dum patri suo legitimam reservent portionem.

15. Si unus ex liberis forte in furorem incidit eiusque parentes curam ei adhibere negligunt, ea in eos observari iubemus, quae et de parentibus furiosis statuimus: et eas regulas parentibus imponimus, qui negligentes fuerint in filiis suis captivis redi-

(1) *Proch. Bas.* XXXIII, 19: « εἰ οἱ « γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους « παῖδας παραδοῖεν » &c. Si noti il « βασιλεὺς τῆς χώρας » nell' addizione del nostro.

(2) Cf. *Proch. Bas.* XXXIII, 20.

(3) Cf. *Proch. Bas.* XXXIII, 21.

(4) Cf. *Proch. Bas.* XXXIII, 22. Invece dell' ultima frase del nostro, vi si legge: « ... πάντων δηλαδὴ τῶν ἐπὶ « τῇ κωλύσει τῶν τοιούτων διαθηκῶν φυ- « λαττομένων, ἅπερ ἐπὶ τῷ τῶν γονέων « διεστίξαμεν προσώπῳ ».

(5) Cf. *Proch. Bas.* XXXIII, 24. Il nostro tralascia il capitolo 23 del *Proch. Bas.*

ὑπαρχόντων ἐν αἰχμαλωσίᾳ, εἴγε καταφρονήσουσιν, ἅτινα ἐκελεύσαμεν περὶ τῶν παίδων τῶν καταφρονησάντων τῆς ἐλευθερίας τῶν αἰχμαλώτων γονέων αὐτῶν (1).

Τίτλος κθ.

Περὶ ἐλευθεριῶν.

1. Αὕτη ὑπάρχει ἡ ἄκρα διαίρεσις τῶν προσώπων, τουτέστιν ὁ μέγας διαχωρισμὸς τῶν ἀνθρώπων, ὅτι πάντες οἱ ἄνθρωποι ἢ ἐλεύθεροί εἰσιν ἢ (a) δοῦλοι. καὶ τὴν μὲν ἐλευθερίαν οὕτως πρέπει ὁρίζεσθαι, ἐξ ἧς ἐπενοήθη αὕτη ἡ προσηγορία, τουτέστι τοῦτο τὸ ὄνομα, τῶν ἐλευθέρων (b) (2).

(a) *Cod.* οἱ (b) *Cod.* τῆς ἐλευθερίας

mendis, si contempserint, quas filiis dictavimus, qui parentes suos captivos liberare neglexerint.

Titulus XXIX.

De manumissionibus.

1. Haec est summa personarum divisio, h. e. magna hominum partitio, quod omnes homines aut liberi sunt aut servi. Et libertas quidem, ex qua haec appellatio, scilicet hoc nomen, liberorum sumta est, ita est definienda:

(1) *Proch. Bas.* XXXIII, 25: « Τούτοις τοῖς θέμασι καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τοὺς παῖδας κρατεῖσθαι καὶ διὰ τῆς τῶν γονέων παταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσθέντας τελευτῆσαι συμβαίη, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων, ἐφ' αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι, ἅπερ καὶ περὶ γονέων κ. περὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τῶν τοιούτων προσώπων δίκαια καλουμένων ἢ περὶ τῶν ἐξωτικῶν γραφομένων κληρονόμων ἀνωτέρω διετυπώσαμεν ». Il compendio, che il nostro fa di questo capitolo, è, come vedesi, molto affrettato; esso inoltre tralascia del tutto i capitoli 26-38, che si contengono ancora in questo titolo del *Proch. Bas.*

(2) *Proch. Bas.* XXXIV, 1 (corri-

c. 53 B 2. Ἐλευθερία ὑπάρχει [a] ἐξουσία φυσική, τουτέστι δοθεῖσα παρὰ [b] τῆς φύσεως· ὅταν ἐπλάσθη παρὰ τοῦ ἀγαθοδότου θεοῦ, ἐλεύθερος γὰρ ἐπλάσθη Ἀδὰμ ὁ πρωτόπλαστος, καὶ φυσικῶς ἐδόθη αὐτῷ ἡ ἐλευθερία συγχωροῦσα ἐκεῖνα ποιῆσαι ἅπερ θελήσει· καὶ αὕτη ἐστὶν ἐλευθερία φυσικὴ συγχωροῦσα ἑκάστῳ ποιῆσαι ἅπερ θελήσει, εἰ μὴ κωλύσῃ τὸν ἄνθρωπον νόμος ἢ βία. καὶ ὑπὸ τῆς βίας μὲν κωλύεται ὁ ἄνθρωπος, ὅταν τις βιασάμενος αὐτὸν ἐν μεγαλωτέρῳ προσώπῳ [c] κωλύσῃ αὐτὸν ποιῆσαι ἢ πρᾶξαι τὸ πρᾶγμα ἐκεῖνο, ὅπερ νόμος ἀπαγορεύει καὶ μηδόλως θέλει [d]· ὑπὸ δὲ τοῦ νόμου κωλύεταί τις ποιῆσαι τὸ θέλημα αὐτοῦ, ὅταν ἐμποδίζῃ μέ τις ποιῆσαι κατὰ [e] τὸ θέλημά μου [f] ἀπειλαῖς τῶν ποινῶν καὶ τῶν τιμωριῶν [1].

(a) *Cod.* ὑπάρχῃ (b) *Cod.* περὶ (c) *Così il Cod.* (d) *Cod.* ϑέλῃ (e) κατὰ *soprascritto, ma, come sembra, della stessa mano.* (f) μου *in rasura.*

2. Libertas est naturalis facultas, h. e. a natura data; cum enim a Deo bonorum datore fuit effictus primus homo Adam, liber effictus est, et naturaliter ei libertas data est, permittens, quae vellet, facere: et haec est libertas naturalis, unicuique concedens facere quae vellet, nisi lex aut vis hominem impediat. Et vi quidem impeditur homo, si quis eum vi cogens in persona maiore (?) impedit eum facere vel agere id, quod lex prohibet et omnino non vult: lege autem quispiam voluntatem suam facere inhibetur, si quis me iuxta voluntatem meam agere impedit, poenarum ac tormentorum minis.

spondente all'*Epanag.* XXXVII, 1): « Τῶν προσώπων ἄκρα διαίρεσίς ἐστιν « αὕτη· ὅτι τῶν ἀνϑρώπων οἱ μέν εἰσι « ἐλεύϑεροι, οἱ δὲ δοῦλοι. καὶ τὴν μὲν « ἐλευϑερίαν, ἐξ ἧς ἡ τῶν ἐλευϑέρων « ἐπινενόηται προσηγορία, οὕτως ὁρίζε- « σϑαι χρή ».

(1) *Proch. Bas.* XXXIV, 1 (corrispondente all'*Epanag.* XXXVII, 2): « Ἐλευϑερία ἐστὶν εὐχέρεια φυσικὴ ἱκά- « στῳ συγχωροῦσα πράττειν ἃ βούλεται, « εἰ μὴ νόμος ἢ βία κωλύῃ. βία μέν, « ἐπειδὴ βουλόμενον ἐσϑότε μέ τι πρᾶ- « ξαι, ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, « διακωλύει τις ἰσχύϊ μείζονι βιασάμενος· « νόμῳ δέ, ὅτε τιμωριῶν ἀπειλαῖς εἴρ- « γομαι πράττειν ἃ βούλομαι. οἰκέτην « γὰρ ποιεῖν τι κατὰ γνώμην καὶ δεσπό- « του δέος ἐμποδίζει ». L'ultima proposizione manca interamente nel nostro: su di essa cf. la nota dello ZACHARIAE a questo luogo del *Proch. Bas.* La spiegazione che il nostro dà della « ἐξουσια φυσική » (« τουτέστι « δοϑεῖσα » &c.), è del tutto estranea alle fonti citate.

3. Τῆς δὲ δουλείας ὁ τρόπος ‖ τοιοῦτός (a) ἐστιν· δουλεία ὑπάρχει c. 53 c
διατύπωσις τοῦ ἐθνικοῦ νόμου, ἐξ ἧς ὑποβάλλεται ἄλλος τῇ δεσποτείᾳ τοῦ ἄλλου (1). ὁ γὰρ νόμος ἐκ τριῶν ἔχει τὴν σύστασιν· ἀπὸ φυσικοῦ καὶ ἀπὸ ἐθνικοῦ καὶ ἀπὸ πολιτικοῦ· ἡ δὲ δουλεία ἀπὸ τοῦ ἐθνικοῦ νόμου εὑρέθη (2). οἱ γὰρ βασιλεῖς προσέταξαν τοὺς ἐπανεστηκότας κατὰ τῆς βασιλείας αὐτῶν μὴ σπάθαις παραδοθῆναι, ἀλλὰ κατέχειν αὐτοὺς τῷ ζυγῷ τῆς δουλείας (3).

4. Τοίνυν οἱ δοῦλοι ἢ γεννῶνται ἢ γίνονται (b)· καὶ γεννῶνται μὲν ἀπὸ τῶν ἡμετέρων προγινομένων θεραπαινίδων· γίνονται δὲ ἢ ἀπὸ αἰχμαλωσίας, ὡς καὶ προειρήκαμεν, ἢ ἀπὸ ἀγορασίας ἡμετέρας. ἀλλ' ἐπὶ

(a) *Cod.* τιούτος (b) *Cod.* γείνονται

3. Servitutis autem species huiusmodi est: servitus est constitutio iuris gentium, ex qua alter alterius dominio subicitur. Ius enim ex tribus consistit, ex naturali, gentium et civili; servitus autem iure gentium fuit inventa. Reges enim iubebant eos, qui adversus eorum regnum insurrexerant, non transfigi gladiis, sed servitutis iugo servari.

4. Servi igitur aut nascuntur aut fiunt: nascuntur quidem ex ancillis a nobis ante acquisitis; fiunt autem aut ex captivitate, prout et antea diximus, aut ex nostra emtione. At in servorum

(1) *Proch. Bas.* XXXIV, 2 (corrispondente all' *Epanag.* XXXVII, 3, dove, nel cod. Marc. 181, si legge al margine « ὅρος δουλείας »; parole, che spiegano le prime del nostro): « Δουλεία ἐστὶν ἐθνικοῦ νόμου διατύπωσις, ἐξ « ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ, ὑπεναντίον φυσικοῦ νόμου. « ἡ γὰρ φύσις πάντας ἐλευθέρους προήγαγεν, ἡ δὲ τῶν πολέμων ἐπίνοια τὴν δουλείαν « ἐφεῦρεν· ὁ γὰρ τοῦ πολέμου « νόμος κτῆμα τῶν κρατούντων « θέλει τοὺς νενικημένους εἶναι ». Le esplicazioni che seguono nel nostro sono prese dalle *Istituzioni* di Teofilo, le quali si trovano a questo luogo del *Proch. Bas.* ricordate nel cod. Bodlej. 3399: « ὡς βι. α' τίτ. δ' ἰνστιτουτίωνος » presso ZACHARIAE, p. 193, n. 6. Cf. anche *Epitome legum,* XXXVIII, 2.

(2) THEOPH. *Instit.* I, 2, 1: « Εἰρή- « καμεν ... ὅτι τῶν νόμων οἱ μέν εἰσι « φυσικοί, οἱ δὲ ἐθνικοί, οἱ δὲ πολιτικοί ».

(3) THEOPH. *Instit.* I, 3, 3: « οἱ δὲ « δοῦλοι λέγονται servoi ἐντεῦθεν προσα- « γορευθέντες ἐπειδήπερ οἱ τῶν πολέμων « ἡγεμόνες τοὺς αἰχμαλώτους οὓς ἐβού- « λοντο πιπράσκεσθαι, ἐφύλαττον καὶ « ἀναιρεῖσθαι διεκώλυον ». Si noti specialmente come il nostro ad « ἡγε- « μόνες » sostituisca « βασιλεῖς », senza la specificazione « τῆς χώρας », che abbiamo visto in altri luoghi.

μὲν τῆς τύχης τῶν δούλων οὐδεμίαν διαίρεσιν ἐπιφέρομεν· ἐπὶ δὲ τῶν
c. 53 » ἐλευθέρων | πολλὰς διαφορὰς εὑρίσκομεν· ἢ γὰρ ὑπάρχουσιν ἐγγένουσι, τουτέστιν εὐγενεῖς, ἢ ὑπάρχουσι λιβερτίνοι, τουτέστιν ἀπελεύθεροι (1).

5. Οἱ ἐλεύθεροι διαιροῦνται εἰς (a) δύο, τουτέστιν εἰς (b) εὐγενεῖς καὶ ἀπελευθέρους. καὶ εὐγενής ἐστιν (c) ὁ ὑπάρχων ἐλεύθερος ἅμα τῷ τεχθῆναι καὶ μηδ' ὅλως γευσάμενος τοῦ ζυγοῦ τῆς δουλείας, ἀλλ' εἴ τις τεχθῇ ἀπὸ συναφείας δύο εὐγενῶν, εἴτε ἐκ β' ἀπελευθέρων, εἴτε ἐξ ἑνὸς εὐγενοῦς καὶ ἑτέρου ἀπελευθέρου (2). λοιπὸν ἐὰν τεχθῇ τις ἀπὸ ἐλευθέρας μητρὸς καὶ ἀπὸ δούλου πατρός, εὐγενὴς ὑπάρχει, ὥσπερ ὑπάρχει εὐγενὴς ἐκεῖνος ὅστις ἐγεννήθη ἀπὸ ἐλευθέρας μητρὸς καὶ ἀπὸ ἀδήλου (d) πατρός, τουτέστιν ἀπὸ μηδαμῶς γινωσκομένου πατρός·

(a) *Cod.* εἰς εἰς (b) εἰς *soprascritto, della stessa mano.* (c) καὶ εὐγενὴς ἐστιν] *Ho supplito queste parole, mancanti nel ms., dal Proch. Bas. XXXIV, 4.* (d) *Cod.* ἀδίλου

quidem conditione nullam partitionem introducimus; in liberis vero multas invenimus differentias, aut enim ingenui sunt, h. e. εὐγενεῖς, aut libertini, h. e. ἀπελεύθεροι.

5. Liberi homines in duo genera dividuntur, h. e. in ingenuos et libertos. (Et ingenuus est) qui statim ac natus liber est neque omnino servitutis iugum degustavit, uti si quis ex duorum ingenuorum matrimonio nascatur, sive ex duorum libertorum, sive ex altero ingenuo et altero liberto. Si quis praeterea ex matre libera et patre servo nascatur, ingenuus est; sicut et ingenuus est ille, qui natus est ex matre libera et incerto patre, h. e. ex patre omnino ignoto; infantis enim ingenuitati non nocet quod ex

(1) *Proch. Bas.* XXXIV, 3 (corrispondente all'*Epanag.* XXXVII, 4): « Οἱ δοῦλοι ἢ τίκτονται ἢ γίνονται· τί-« κτονται μὲν οἱ ἐκ τῶν ἡμετέρων ἡμῖν « προσγινόμενοι θεραπαινῶν· γίνονται δὲ « οἱ ἐκ τῶν ἐθνικῶν νομίμων, τουτέστιν « ἐκ τῆς αἰχμαλωσίας. καὶ ἡ μὲν τῶν « δούλων τύχη οὐδεμίαν ἐπιδέχεται διαί-« ρεσιν· οὐ γάρ ἐστιν εἰπεῖν ἐπ' « αὐτῶν μᾶλλον ἢ ἧττον δοῦ-« λος· ἔστιν οὖν ἄτομος ἡ δου-« λεία. ἐπὶ δὲ τῶν ἐλευθέρων πολλὰς « εὑρίσκομεν διαφορά· ἢ γὰρ εὐγενεῖς « εἰσιν, ἢ ἀπελεύθεροι ». Si notino le parole del nostro « ἢ ἀπὸ ἀγορασίας « ἡμετέρας », le quali mostrano com'egli non comprenda lo spirito del testo che ha davanti, parlando in questo luogo della compera degli schiavi.

(2) *Proch. Bas.* XXXIV, 4: « Οἱ ἐλευ-« θεροι εἰς δύο διαιροῦνται, εἰς εὐγενεῖς « καὶ ἀπελευθέρους » &c.

οὐδὲν γὰρ βλάπτει τὴν εὐγένειαν τοῦ παιδὸς διότι ἐγένετο ἡ σύλληψις αὐτοῦ ‖ ἀπὸ πορνείας· καὶ γὰρ ἀρκεῖ τῷ παιδὶ ἐλευθέραν εἶναι τὴν c. 54 A
μητέρα αὐτοῦ κατὰ τὸν καιρὸν τοῦ τοκετοῦ, ἤτοι τῆς γεννήσεως, εἰ τάχα ὁ καιρὸς τῆς συλλήψεως εἶδεν αὐτὴν δούλην διὰ τὴν πορνείαν (1).

6. Καὶ ἐκ τοῦ ἐναντίου, ἐὰν συνέλαβεν ἐλευθέρα οὖσα, μετὰ ταῦτα καταδουλωθεῖσα κατὰ τὰς ἐννόμους αἰτίας γεννήσῃ, ἐλεύθερον ἔσται τὸ τεχθὲν παιδίον· οὐδὲ γὰρ βλαβήσεται ὁ ἐν τῇ κοιλίᾳ παῖς ὑπὸ τῆς συμφορᾶς τῆς μητρὸς αὐτοῦ (2).

7. Ἐάν τις γυνὴ δούλη οὖσα κατὰ τὸν καιρὸν ὃν συνέλαβεν ἐν γαστρί, καὶ μετὰ ταῦτα ἐλευθερωθῇ ἀπὸ τοῦ ζυγοῦ τῆς δουλίας, ὕστερον δὲ μετ' ὀλίγον καιρὸν ὑπὸ πταίσματος αὐτῆς πάλιν κατεδουλώθη, καὶ εἰς τὴν καταδούλωσιν ἐγέννησε, θεσπίζομεν εἶναι ἐλεύθερον τὸ τικτόμενον· ἀρκεῖ γὰρ τῷ ὑ‖πάρχοντι ἐν τῇ κοιλίᾳ, ὅτι ἡ μήτηρ αὐτοῦ c. 54 B
ἐλευθέρα ὑπῆρχεν ἐν τῷ κατὰ μέσον καιρῷ (3).

8. Δύναταί τις ἄνθρωπος ἐλευθερῶσαι τὸν δοῦλον αὐτοῦ ἢ ἐν

adulterio conceptus sit; ei enim sufficit liberam matrem fuisse partus, h. e. nativitatis, tempore, licet conceptionis tempus eam ancillam per adulterium noverit.

6. Et e contrario, si cum libera esset conceperit posteaque legitimis causis servituti subiecta parierit, qui nascitur puer liber est; damnum enim puer in utero non sentiet ex matris suae calamitate.

7. Si qua mulier, quae tempore quo in utero concepit serva erat, postea a servitutis iugo soluta sit et demum brevi tempore elapso ob patratum scelus rursus in servitutem sit redacta et in hac nova servitute pariat, partum liberum esse iubemus: ei enim qui in ventre est sufficit matrem medio tempore liberam fuisse.

8. Quisquis servum suum manumittere potest vel in sacro-

(1) Cf. *Proch. Bas.* XXXIV, 5.

(2) Cf. *Proch. Bas.* XXXIV, 6. L'*Epanag.* XXXVII, 5 fa un capitolo solo dei capitoli 4-6 del *Proch. Bas.*

(3) *Proch. Bas.* XXXIV, 7 (corrispondente all' *Epanag.* XXXVII, 6): « Ἐάν τις δούλη οὖσα κατὰ τὸν καιρὸν « ὃν συνέλαβε, τῆς δουλείας ἐλευθερωθῇ, « ὀλίγου δὲ χρόνου παραδραμόντος κατε- « δουλώθη, εἶτα τέτοκε μετὰ τὴν κατα- « δούλωσιν, κελεύομεν ἐλεύθερον εἶναι τὸ « τικτόμενον. ἀρκεῖ γὰρ τῷ ὄντι ἐν γα- « στρὶ τὸ κατὰ τὸν μέσον καιρὸν ἐλευ- « θέραν εἶναι τὴν μητέρα ».

ταῖς ἁγιωτάταις ἐκκλησίαις, ἢ ἐπὶ ἄρχοντος, ἢ ἐπὶ φίλων, ἢ δι' ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἱαδήποτε τελευταίᾳ βουλήσει (1).

9. Κελεύει ἡ διάταξις τῶν βασιλέων ἐπὶ πάσης ἐλευθερίας, εἴτε παρὰ στρατιώτου, εἴτε παρὰ ἰδιώτου, εἴτε ζῶν τις ἐλευθερώσει τὸν ἐπίκοινον οἰκέτην, εἴτε τελευτῶν, κἂν τε ἥμισυ κἂν τε τρίτον ἔχῃ τοῦ δούλου, εἴτε β' εἴτε πλείονές εἰσιν οἱ κοινωνοί, ἀνάγκην ἔχουσιν αὐτοὶ τὰ ἴδια μέρη πιπράσκειν ἢ αὐτῷ τῷ βουλομένῳ κοινωνῷ αὐτῶν * * * (a), ἵνα αὐτὸς δώσῃ (b) αὐτοῦ τίμημα. εἰ δὲ μὴ θελήσωσιν οἱ κοινωνοὶ
c. 54 c πωλῆσαι τὸ ἴδιον μέρος καὶ λαβεῖν τὸ τίμημα, γενέσθω ἐλεύθερος, μηδὲ τιμήματος διδομένου· καὶ τὸ πεκούλιον αὐτοῦ τοῦ δούλου ἐχέτωσαν οἱ κοινωνοί, κατὰ μέρος τῆς δεσποτείας· ἀλλ' ὅμως ὁ ἐλευθερώσας αὐτὸν ἐξουσίαν ἔχει ἵνα χαρίσῃ τὸ ἴδιον αὐτοῦ τῷ ἐλευθερουμένῳ, τῶν πατρωνικῶν δικαίων ἁρμοζόντων ἐκείνῳ μόνῳ τῷ ἐλευθερώσαντι αὐτόν (2). εἰ δὲ ὁ δοῦλος ὑπόκειται χρέει δημοσίῳ, ὁ ἄρχων ὁριζέτω αὐτῷ καιρόν,

(a) *Il testo è qui lacunoso. Il confronto col Proch. Bas. XXXIV, 9 suggerirebbe un supplemento del seguente tenore:* ἐλευθερῶσαι, ἢ τῷ κληρονόμῳ αὐτοῦ. ἐξέστω δὲ καὶ αὐτὸν τὸν οἰκέτην σὺν ἐλευθερίᾳ γράφειν κληρονόμον (b) *Cod.* δόσι

sanctis ecclesiis, vel apud magistratum, vel inter amicos, vel per epistolam, vel in testamento, vel in qualicumque ultima voluntate.

9. Imperatorum constitutio sancit, in omni libertate, sive a milite sive a privato (concessa), sive vivens quis communem servum manumittat sive obiens, sive dimidiam sive tertiam servi partem habeat, sive .II. sive plures socii sint, ut ipsi necessitatem habeant partes suas vendendi vel ipsi eorum socio volenti * * *, ut ipse pretium suum det. Quod si socii partem suam vendere et pretium accipere noluerint, liber ille sit, ne pretio quidem dato; et socii habeant peculium ipsius servi pro parte dominii: ille vero qui eum manumittit, potestatem habeat partem suam manumisso dandi, patronatus iuribus ei soli, qui eum manumittit, competentibus. Quod si servus publico debito oneratus sit, tempus ei magistratus praefiniat, intra quod servus rationes, h. e. publicum

(1) Cf. *Proch. Bas.* XXXIV, 8 (corrispondente all' *Epanag.* XXXVII, 7).

(2) *Proch. Bas.* XXXIV, 9: « Ἡ διάταξις κελεύει ἐπὶ πάσης ἐλευθερίας » &c. Il « τῶν βασιλέων », in principio del capitolo, è del nostro, il quale però in questo caso non aggiunge il « τῆς χώρας ».

οὗτινος ἐντὸς μέλλει ὁ δοῦλος δοῦναι τὰ λογοθέσια, τουτέστι τὰ χρέη τοῦ δημοσίου, καὶ παρασχεῖν εἴ τι χρεωστεῖ, καὶ μετὰ ταῦτα ἐλευθερωθῆναι (1). ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, εἰ μὲν ἄτεχνος ὑπάρχει καὶ πλέον (a) τῶν ι' ἐνιαυτῶν, νομισμάτων κ', εἰ δὲ ἔλαττόν (a) ἐστι τῶν ι' ἐτῶν, τὸ τίμημα αὐτοῦ ι' νομίσματα. εἰ δὲ ὁ δοῦλος τέχνην γινώσκει, ἄνευ ‖ νοταρίου καὶ ἰατροῦ (b), τὸ τίμημα αὐτοῦ νομίσματα λ'. c. 54 D εἰ δὲ νοτάριός ἐστιν ἢ ἰατρός, ὁ μὲν νοτάριος ἕως ν' νομισμάτων, ὁ δὲ ἰατρὸς ἕως ξ'. ἐὰν εὐνοῦχοι ὑπάρχουσιν οἱ δοῦλοι, μείζονες τῶν ι' ἐτῶν, χωρὶς τέχνης, νομίσματα ν', εἰ δὲ καὶ τέχνην γινώσκουσιν, ο' νομισμάτων εἰσὶν ἄξιοι (2).

10. Ἄνθρωπός τις ἠράσθη δούλης τινὸς ἀνθρώπου καὶ συνεφώνησε πρὸς τὸν δεσπότην τῆς δούλης δοῦναι ἄλλην δούλην ὑπὲρ αὐτῆς, ἐὰν ἐλευθερώσῃ αὐτήν, ἢ παραδόσῃ (c) αὐτὴν ἐκείνῳ εἰς τὸ ἐλευθερωθῆναι παρ' αὐτοῦ. καὶ ὁ μὲν δεσπότης τῆς δούλης ἢ ἠλευθέρωσεν αὐτήν, ἢ παρέδωκεν αὐτὴν τῷ ἐραστῇ αὐτῆς. ἐκεῖνος δὲ λαβὼν τὴν δούλην καὶ

(a) *Così il Cod.* (b) *Cod.* καὶ ἰ̓ἀτροῦ καὶ ἰ̓ἀτροῦ (c) *Così il Cod.*

debitum, reddat et, si quid debet, praestet, posteaque manumittatur. Servi autem pretium, siquidem artificii expers et .x. annis maior est, sit solidorum .xx., si .x. annis minor est, pretium eius sit .x. solidorum. Quod si servus artem callet, praeter notarium ac medicum, pretium .xxx. solidorum sit; et si notarius est aut medicus, notarius quidem ad solidos .L., medicus autem usque ad .LX. Si vero eunuchi sint servi .x. annis maiores, sine artificio, .L. solidorum, si artificium callent, .LXX. solidorum digni sint.

10. Amabat quis alienam ancillam et cum domino ancillae pactus est, se aliam ancillam pro eadem daturum, si illam manumitteret, aut sibi traderet, ut a se manumitteretur. Et ancillae quidem dominus aut eam manumisit aut amatori tradidit. Ille autem ancillam accipiens et semet cum ea coniungens liberos ex

(1) *Proch. Bas.* XXXIV, 10: « Ἐὰν « δὲ ὁ δοῦλος λογοθεσίοις ὑπόκειται » &c.

(2) Cf. *Proch. Bas.* XXXIV, 11: manca però nel nostro l'ultima frase: « ἐὰν δὲ τῶν ι' ἐνιαυτῶν ἥττονές εἰσι, λ' νο- « μισμάτων ». L'*Epanag.* XXXVII, 8 fa, come il nostro, un capitolo solo dei capitoli 9-11 del *Prochiron*, anzi vi aggiunge pure il capitolo 12, ch'è tralasciato dal nostro.

συναφθεὶς αὐτῇ ἐποίησε παιδία ἐκ τῆς δούλης, οὐκ ἔδωκε δὲ ἐκείνῳ
c. 55 A τὴν δούλην ἣν συνεφώνησε δοῦναι ὑπὲρ ἐκείνης. ὅθεν προσ‖ῆλθε τῷ βασιλεῖ ὁ ποτὲ δεσπότης τῆς δούλης, ἐνάγων κατ' αὐτοῦ περὶ τοῦ συμφώνου, καὶ ἀντιγέγραπται πρὸς αὐτὸν διάταξις λέγουσα [1]· ὁπόταν συνεφώνησας μέσον σου καὶ ἐκείνου τὴν σὴν δούλην συζεῦξαι εἰς συνάφειαν ἐκείνῳ καὶ ἤρεσέ σοι δοῦναι ὑπὲρ αὐτῆς ἄλλην δούλην, τότε ἔμελλες εἰδέναι, ὅτι, ἐὰν ἐλευθερώσῃς αὐτὴν ἢ ἐκείνῳ παραδόσῃς [a] καὶ ἐκεῖνος ἠλευθέρωσεν, οὐκ ἔχεις ἐξουσίαν καταλῦσαι τὴν δεσποτείαν τῆς ἐλευθερίας, ἀλλὰ μόνον τοσοῦτον ἔχεις, εἰ μὴ [b] παρῆλθεν ὁ ὡρισμένος χρόνος τῆς περὶ δωρεᾶς ἀγωγῆς. εἰ δὲ ἀπέμεινέ σοι δωρεὰ ταύτης [c] τῆς θεραπαινίδος, προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρχίας δύνασαι αὐτὴν ἀναλαβεῖν μετὰ τῶν γεννηθέντων παρ' αὐτῆς [2].

(a) *V. poco sopra* παραδόσῃ (b) μὴ *manca nel Cod.* (c) *Cod.* ταύτῃ

ea suscepit; alii vero ancillam, quam se pro ea daturum pactus erat, non dedit. Unde ancillae quondam dominus imperatorem adiit, in illum ex contractu agens, et ad eum constitutio rescripta est ita dicens: « Postquam inter te et illum pactus es, ut ancilla « tua in contubernio illi coniungeretur, et tibi placuit ut aliam « ancillam pro ea daret, tunc videre debebas, quod, si eam ma- « numitteres aut illi traderes ut ille eam manumitteret, potestatem « rescindendae libertatis amplius non haberes, sed solum aliud « tantum consequi potes, si necdum statutum de donatione (!) « actioni tempus excesserit. Quod si tibi huiusce ancillae do- « natio (!) remansit, provinciae praesidem adiens eam cum natis « ab ea recuperare potes ».

(1) *Proch. Bas.* XXXIV, 13 (corrispondente all'*Epanag.* XXXVII, 9): « Ἡράσθη τις δούλης ἀλλοτρίας... λαβὼν « δὲ ἐκεῖνος τὴν θεράπαιναν καὶ συναφθεὶς « αὐτῇ παῖδας ἔσχεν ἐξ αὐτῆς, οὐ δέδωκε « δὲ εὐγνωμόνως τὸ ἀντὶ αὐτῆς ἀνδρά- « ποδον. ὅθεν προσῆλθεν ὁ τῆς θεραπαί- « νης ποτὲ δεσπότης, καὶ ἀντιγέγραπται « πρὸς αὐτὸν διάταξις λέγουσα ».

(2) *Proch. Bas.* ed *Epanag.* loc. cit: « ὁπότε θεματίζεις, μεταξύ σου καὶ ἐκεί- « νου, ὄντινα εἰς συνάφειαν τὴν θεράπαι- « ναν τὴν σὴν συζεῦξαι ἑαυτῷ μνημονεύ- « σεις, ἀρέσαι καὶ συμφωνηθῆναι, ἵνα σοι « ὑπὲρ αὐτῆς δώσῃ ἀνδράποδον, ὀφείλεις « εἰδέναι, ὅτι, ἐὰν ἠλευθέρωσας, ἢ ἐκείνῳ « παρέδωκας καὶ αὐτὸς ἠλευθέρωσεν, ἀνα- « κλητέας τῆς ἐλευθερίας ἐξουσίαν οὐκ « ἔχεις, ἀλλὰ μόνον, εἰ μήπω παρῆλθεν « ὁ ὡρισμένος τῆς περὶ δόλου ἀγωγῆς « χρόνος, τουτέστιν ἡ διετία, καὶ « τὴν πίστιν τοῦ συμφωνηθέντος

11. Ἐὰν ὁ δεσπότης ἐξέδωκε ‖ τὴν ἑαυτοῦ θεράπαιναν ὡς ἐλευθέραν, c. 55 a
ὁ δὲ λαβὼν ταύτην τὴν δούλην ἐλεύθερος ὑπάρχων καὶ πιστεύσας (a) ἐλευθέραν αὐτὴν ὑπάρχειν, τυχὸν καὶ προικῴων συμβολαίων γενομένων ἢ καὶ μὴ γενομένων, τῆς δὲ γνώμης αὐτῶν (b) διοικησαμένης (c) τὸ πρᾶγμα, οὐκ ἂν εἴη δίκαιον μὴ γίνεσθαι τὸν τοιοῦτον γάμον, ἀλλ' εὐγενεῖς εἶναι θεσπίζομεν τοὺς ἐξ αὐτῶν (d) γεννηθέντας (1). (Ἐκ τῆς νεαρᾶς διατάξεως Βασιλείου (e)) (2).

12. Γινώσκομέν τινα τῶν παλαιῶν διατάξεων, ὡς ὅτι (f) προσέταξε

(a) λαβὼν - ὑπάρχων κ. πιστεύσας] *Così il Cod. Cf. invece il Proch. Bas. XXXIV, 14.* (b) αὐτῶν] *Cf. Proch. Bas. loc. cit.:* τῆς δὲ αὐτοῦ γνώμης κτέ. (c) *Cod.* διείκησαμένως (d) *Cod.* αὐτοὺς (e) *Cod.* βασι λι: *Le parole in parentesi sono coperte da una leggiera tinta.* (f) *Cf. XXIII, 28.*

11. Si dominus ancillam suam tamquam liberam collocet et qui ancillam ducit liber sit eamque liberam esse credat, conditis fortasse etiam dotalibus instrumentis, aut ne quidem conditis, sed animi eius destinatione rem ita gerente, haud iustum foret huiusmodi nuptias non consistere; at iubemus liberos ex iis natos ingenuos esse. Ex novella constitutione Basilii.

12. Scimus aliquam veterum constitutionum sanxisse, ut

« ῥήγνυσιν, ἐπιζητῆσαι ὀφείλεις « τὴν περὶ δόλου δοθῆναί σοι « ἀγωγήν. ἐὰν δὲ παρά σοι ἡ δε- « σποτεία τῆς θεραπαίνης ταύτης ἀπέ- « μεινεν, προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρ- « χίας μετὰ τῶν ἐξ αὐτῆς γεννηθέντων « δύνασαι αὐτὴν ἀναλαβεῖν, εἰ μή τις « κινηθείη περὶ τῆς τύχης αὐ- « τῆς ζήτησις ». Si noti come nel nostro sono guasti i due ultimi periodi di questo capitolo.

(1) *Proch. Bas.* XXXIV, 14 (corrispondente all'*Epanag.* XXXVII, 12): « Ἐὰν ἐξέδωκεν ὡς ἐλευθέραν τὴν ἑαυτοῦ « θεράπαιναν ὁ δεσπότης, ὁ δὲ ἐλεύθερος « ὢν καὶ πιστεύσας τῷ διδόντι ταύτην « ἔλαβεν, ἴσως καὶ προικῴων γενομένων « συμβολαίων, ἢ μηδὲ γενομένων μέν, « τῆς δὲ αὐτοῦ γνώμης τὸ πρᾶγμα διοι- « κησαμένης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦ- « τον μὴ συνεστάναι γάμον· ἀλλὰ σω- « πηρὰν ἐλευθερίαν ἀκολουθεῖν εἴτε τῷ « ἀνδρὶ εἴτε τῇ γυναικὶ ... θεσπίζομεν ... « κ. τ. λ.... πρόδηλον οὖν, ὡς καὶ οἱ παῖδες « ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροί τε « καὶ εὐγενεῖς ἔσονται ».

(2) Queste parole si riferiscono al capitolo seguente, il quale contiene una novella di Basilio il Macedone (in LEUNCLAVIUS, *I. G.-R.* II, 134-135), e porta la stessa iscrizione nel cod. Bodlej 3399: « Ἐκ τῆς νεαρᾶς « διατάξεως βασιλείου ». Cf. ZACHARIAE, *Proch. Bas.* p. 201, n. 69. Si trova anche riferita nel cod. Parigino greco 1384 a cc. 173 B-174 A, dove ha pure la stessa rubrica: « Ἐκ « τῆς νεαρ. διατάξ. βασιλείου » e concorda perfettamente col testo del *Proch. Bas.*

τὰς περιουσίας τῶν ἀδιαθέτως τελευτώντων αὐτῶν [a] ἐπὶ τὸ θεῖον ἡμῶν ταμιεῖον κομίζεσθαι, ἐκείνων δηλονότι οἷς οὐχ ὑπάρχει κληρονόμος κατὰ νόμον· ἐν ᾧ τῷ ταμιείῳ πολλάκις καὶ δοῦλοι ἐκ ταύτης τῆς αἰτίας
c. 55 c ἐδόθησαν, ὡς ἐντεῦθεν ὁρίζεσθαι αὐτοῖς ἀδιάλυτον τὸν ζυγὸν ἀπὸ τῆς δουλείας. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης πρὸς τὸ σκληρὸν τοῦτο [b] διάταγμα ἵλεώ τε καὶ συμπαθεῖ ὄμματι ἀποβλέπουσα θεσπίζει ἀπὸ τοῦ νῦν πᾶν οἰκετικὸν πρόσωπον ἁρμόζον τῷ θείῳ ἡμῶν ταμιείῳ ὡς ἐξ ἀδιαθέτου ἐν πάσῃ τῇ ἡμετέρᾳ πολιτείᾳ πρὸς ἐλευθερίαν εὐθέως ἀνάγεσθαι καὶ διαπράττειν ἅπασι [c] τὰ τῶν Ῥωμαίων κατὰ νόμους [1].

(a) *Così il Cod.* (b) *Cod.* τοῦ (c) *Così il Cod.; ma il Proch. Bas. XXXIV, 17 reca:* ἐν ἅπασι

substantiae ab intestato decedentium in sacrum nostrum aerarium inferantur, eorum scilicet, quibus nullus est legitimus heres; qua de causa saepe et servi aerario illati sunt, ita ut indissolubile servitutis iugum iis praescribatur. Propterea serenitas nostra duram hanc constitutionem propitio ac misericordi oculo considerans statuit, ut ex nunc omnis persona servilis, quae ab intestato ad nostrum pertinet aerarium, in omni nostro imperio ad libertatem statim dimittatur et quae Romanorum sunt in universum secundum leges peragat.

(1) *Proch. Bas.* XXXIV, 17: « Ἴσμεν « ἤδη τινὰ τῶν παλαιῶν διάταξιν, [cod. « Par. 1384: διατάξεων], τὰς τῶν τε- « λευτώντων ἀδιαθέτως περιουσίας, οἷς « κατὰ νόμους οὐχ ὕπεστιν ἐξ ἀδιαθέτου « κληρονόμος, ἐπὶ τὸ θεῖον ἡμῶν ταμιεῖον « εἰσκομίζεσθαι· ἐν ᾧ πολλάκις καὶ οἰ- « κετικὰ πρόσωπα συναπενήνε- « κται, ὡς ἐντεῦθεν ἀδιάλυτον τὸν τῆς « δουλείας ζυγὸν αὐτοῖς γνωρίζεσθαι. διὰ « τοῦτο ἡ ἡμετέρα γαληνότης ἵλεώ τε καὶ « συμπαθεῖ ὄμματι ἀπὸ τῆς δεῦρο πα- « ρακελεύεται πᾶν οἰκετικὸν πρόσωπον « ἀνῆκον ὡς ἐξ ἀδιαθέτου τῷ θείῳ « ἡμῶν ταμιείῳ ἐν πάσῃ τῇ ἡμετέρᾳ πο- « λιτείᾳ πρὸς ἐλευθερίαν ἀφίεσθαί τε « καὶ ἀνάγεσθαι, καὶ τὰ τῶν Ῥωμαίων « κατὰ νόμους αὐτοῖς διαπράττειν ἐν « ἅπασι, κἂν ἐν μόνοις οἰκετικοῖς « προσώποις ἡ οὐσία πᾶσα καθε- « στήκοι. ὡς εἴ τίς γε τὴν τοι- « αύτην νομοθεσίαν παραβλέ- « ψειε, μὴ τύχοι ἐλευθερίας τῶν « αὐτοῦ ἁμαρτημάτων ». Si notino le ultime parole tralasciate dal nostro.

Τίτλος λ.

Περὶ λιγάτων.

1. Λιγατάριος οὐ δύναται κατέχεσθαι μέρος καὶ μέρος παραχωρῆσαι [1].

2. Λαμβάνει ὁ λιγατάριος καὶ τὰ προστεθέντα [a] τῆς λιγατευθείσης αὐτῷ ἀγέλης· εἰ δὲ καὶ ἐλαττωθῇ ἡ ἀγέλη, κἂν εἰς ἕνα περιστῇ [b] καὶ ἔλθῃ, λαμβάνει αὐτὸν ὁ λιγατάριος, εἰ καὶ τάχα ἐπαύσατο εἶναι ἀγέλη [2].

3. Λιγατάριος λαμβάνει τὸ ἔδαφος, τουτέστι τὴν γῆν, τοῦ λιγατευομένου αὐτῷ οἴκου, κἂν ὁ οἶκος ἐκκαυθῇ [3]. c. 55 D

4. Ἐάν τις καταλιμπάνῃ λιγάτον κτῆμα κατεξαίρετον τοῖς ἀδελ-

(a) *Cod.* προστιθέντα (b) *Cod.* περαστῇ

Titulus XXX.

De legatis.

1. Legatarius non potest partem retinere et partem repudiare.

2. Accipit legatarius et quae gregi ei legato accesserunt; quod si grex imminutus sit, licet ad unum (bovem) redactus sit et venerit, eum legatarius acquirit, quamquam grex esse desiit.

3. Legatarius accipit solum, h. e. terram, domus ei legatae, licet domus exarserit.

4. Si quis fundum legatum per praeceptionem fratribus suis

(1) *Proch. Bas.* XXXV, 1: « Ὁ λη-
« γατάριος οὐ δύναται μέρος καταδέχε-
« σθαι καὶ μέρος παραιτεῖσθαι ».

(2) *Proch. Bas.* XXXV, 2: « Ἀγέλης
« ληγατευθείσης, καὶ τὰ προστεθέντα
« λαμβάνει ὁ ληγατάριος. εἰ δὲ καὶ μει-
« ωθῇ, κἂν εἰς ἕνα βοῦν περιστῇ, λαμ-
« βάνει αὐτὸ ὁ ληγατάριος, εἰ καὶ ἐπαύ-
« σατο εἶναι ἀγέλη ».

(3) *Proch. Bas.* XXXV, 3: « Καὶ οἴκου
« ληγατευομένου καὶ καιομένου, λαμβάνει
« τὸ ἔδαφος ».

φοῖς αὐτοῦ καὶ μετὰ ταῦτα ἄλλῳ τινὶ λιγατεύσῃ τὸ αὐτὸ κτῆμα, πάντες ἅμα συνιόντες [a] οἱ λιγατάριοι τὸ αὐτὸ κτῆμα λαμβάνουσιν [1].

5. Ἐλιγάτευσά [b] σοι τὸν ἐμὸν οἰκέτην μετὰ τοῦ πεκουλίου αὐτοῦ· ὕστερον ἐπιζήσας μετὰ τὴν ποίησιν τῆς διαθήκης ἠλευθέρωσα τὸν οἰκέτην, ἢ ἐξεποίησα αὐτόν, ἢ συνέβη αὐτὸν τὸν δοῦλον τελευτῆσαι· οὐ μόνον ἐπ' αὐτῷ, ἀλλὰ καὶ ἐπὶ τῷ πεκουλίῳ αὐτοῦ ἐνάγομαι [c] [2].

6. Ἐὰν λιγατευθῇ τινι μέρος τῆς οὐσίας καὶ χαωθῇ τι πρᾶγμα τῆς κληρονομίας, ἐκπίπτει τῆς δικαίας ἀπαιτήσεως τῶν λιγάτων, καὶ οὐ δύναται ἀπαιτῆσαι ἅπαντα τὰ λιγάτα, ἀλλὰ κατὰ ἀναλογίαν τῆς κληρονομίας [3].

c. 56 A 7. Ἐὰν λιγατευθῇ τινι μέρος τῆς οὐσίας, ὁ κληρονόμος ἔχει ἐπιλογὴν ἢ δοῦναι τὸ μέρος τῶν πραγμάτων, ἢ ὅσον χρῄζει τὸ λιγάτον [4].

(a) *Cod.* συνόντες (b) *La prima lettera di questa parola è scritta in nero da altra mano sopra una* Ὁ *in rosso.* (c) *Così il Cod.; ma cf. il Proch. Bas. XXXV, 5.*

reliquit et mox alii cui eumdem fundum legavit, omnes simul legatarii concurrentes fundum ipsum acquirunt.

5. Legavi tibi servum meum cum ipsius peculio, deinde supervivens, post testamentum conditum, servum manumisi vel alienavi aut servum ipsum mori contigit: non solum in eo sed et in ipsius peculio (non) teneor.

6. Si cui substantiae pars legata sit et res aliqua ex hereditate pereat, a iusta legatorum petitione cadit, neque legata omnia petere potest, sed secundum vires (?) hereditatis.

7. Si cui substantiae pars legata sit, optionem habet heres aut rerum partem dare aut quantum valet legatum.

(1) *Proch. Bas.* XXXV, 4: « Ἐάν τις « κτῆμα κατεξαίρετον τοῖς ἀδελφοῖς αὐ- « τοῦ ὡς λεγάτον καταλιπὼν μετὰ ταῦτα « καὶ ἄλλῳ τινὶ τὸ αὐτὸ κτῆμα λεγα- « τεύσῃ, πάντες ἅμα συνιόντες οἱ λεγα- « τάριοι τὸ κτῆμα λαμβάνουσιν ».

(2) *Proch. Bas.* XXXV, 5: « ... οὐ « μόνον ἐπ' αὐτῷ, ἀλλὰ καὶ ἐπὶ τῷ πε- « κουλίῳ τὸ λεγάτον ἐξουθενεῖ· « τῶν γὰρ πρωτοτύπων μὴ σω- « ζομένων, ὑφεστάναι οὐ δύναται « τὰ παρακολουθήματα ». Nel nostro probabilmente manca un « οὐκ » innanzi ad « ἐνάγομαι »: sebbene una tal forma non sia neppure esatta.

(3) *Proch. Bas.* XXXV, 6: « Ἐάν « τινι μέρος τῆς οὐσίας λεγατευθῇ καὶ « ὑφέληται τῆς κληρονομίας πράγματα, « ἐκπίπτει τῆς ἁρμοζούσης αὐτῷ τῶν λε- « γάτων ἀπαιτήσεως ἐφ' οἷς παρακα- « τέσχε πράγμασι· τούτων γὰρ « τὸ μέρος ἀπαιτεῖν οὐ δύναται ».

(4) *Proch. Bas.* XXXV, 7: « ... ἢ « τὸ μέρος τ. πρ. δοῦναι, ἢ τὴν ἀποτι-

8. Ἐὰν ἔχω πολλὰ καὶ διάφορα πράγματα καὶ λιγατεύσω σοι ἐξ αὐτῶν ἓν πρᾶγμα ἢ καὶ πλεῖον καὶ μὴ δηλώσω ποῖον πρᾶγμα ἐξ ἐκείνων ὑπάρχει, ὁ κληρονόμος ἔχει τὴν ἐπλογήν, ἀλλ' ὅμως ἵνα μὴ δώσῃ τὸ χεῖρον τῶν πραγμάτων, ἀλλὰ τὸ ὑπάρχον μέσης ποιότητος (1).

Τίτλος λα.

Περὶ ἐπιτρόπων.

1. Κατὰ τὸν πολιτικὸν νόμον ἐκεῖνοι οἱ ἐλεύθεροι ἐπιτρόπους μέλλουσιν ἔχειν, οἵτινες μὴ δύνανται ἑαυτοὺς δεφενδεύειν, τουτέστι διεκδικᾶν (2).

2. Ἐὰν ὀρφανὸς (a) ἔχοι (b) δίκην μετὰ τοῦ ἐπιτρόπου αὐτοῦ, δύναται αἰτῆσαι ἑαυτῷ κουράτωρα· τῷ ἀλάλῳ μᾶλλον δίδοται ἐπίτροπος (3).

(a) *Cod.* ὀρφανὰ (b) *Così il Cod.*

8. Si multas ac diversas res habeo et tibi unam vel plures ex iis legavero neque significavero quaenam ex iis sit, heres electionem habet; ita tamen ut ne pessimam inter res, sed quae mediae est qualitatis praestet.

Titulus XXXI.

De tutoribus.

1. Secundum ius civile illi liberi homines habere debent tutores, qui seipsos defendere, h. e. tueri, nequeunt.

2. Si orphanus litem cum tutore suo habet, sibi curatorem petere potest. Muto tutor potius datur.

« μησιν αὐτῶν· τῶν μέντοι ἀδιαι-
« ρέτων πάντως τὸ τίμημα δί-
« δωσιν ».

(1) *Proch. Bas.* XXXV, 8: « ... ὁ
« κληρ. ἔχει τ. ἐπιλογήν, ἐφ' ᾧ μέντοι μὴ
« τὸ χεῖρον ἐπιδοῦναι τῷ ληγατευθέντι,
« ἀλλὰ τὸ μέσης ὑπάρχον ποιότητος ».

(2) *Proch. Bas.* XXXVI, 1: « Ἐπι-
« τροπεύονται κατὰ τὸν π. ν. ἐλεύ-
« θεροι οἱ δεφενδεύειν, ἤτοι διεκδικεῖν, ἑαυ-
« τοὺς διὰ τὴν ἡλικίαν μὴ δυνάμενοι ».

(3) Cf. *Proch. Bas.* XXXVI, 2-3.

c. 56 B 3. Οὐ δίδοται ἐπίτροπος τῷ υἱῷ τοῦ ἐν αἰχμαλωσίᾳ ὑπάρχοντος, ἀλλὰ κουράτωρ τῇ οὐσίᾳ αὐτοῦ· ὑποστρέφοντος γὰρ τοῦ πατρός, γίνεται ὑπεξούσιος τῷ πατρὶ αὐτοῦ, ὡς εἰ μηδέποτε ἠχμαλωτίσθη (1).

4. Δίδοται ὁ κουράτωρ τῷ νέῳ ἐκείνῳ, ὅστις ἔχει ἐπίτροπον ἄῤῥωστον ἢ γέροντα, ὅστις μᾶλλον διοικητής ἐστι τῶν πραγμάτων. καὶ ὁ λεγόμενος βοηθὸς κινδύνῳ τῶν ἐπιτρόπων διὰ (a) τοῦ ἄρχοντος προχειρίζεται (2).

5. Ὁ ὕπαρχος καὶ ὁ ἄρχων καὶ ὁ πρὸς καιρὸν ἐπιτραπεὶς τὴν διοίκησιν τῆς ἐπαρχίας, ἴσως τοῦ ἄρχοντος ἀποθανόντος, δύναται δοῦναι ἐπιτρόπους (3).

6. Πάντες οἱ στρατηγοὶ (b) καλῶς παρέχουσιν ἐπιτρόπους, ἀλλ' οὐν μόνους τοὺς ὄντας ἐκ τῆς στρατείας καὶ πόλεων (c) αὐτῶν, ἢ τῶν ἀγορῶν τῶν ὑπ' αὐτούς (4).

c. 56 C 7. Οἱ ἄῤῥενες τελείας ἡλικίας ὑπάρχοντες προτιμότεροί εἰσι τῶν θηλειῶν εἰς τὸ εἶναι ἐπίτροποι, ἐὰν ἄρα μὲν οὐ πρόκειται μήτηρ ἢ μάμμη·

(a) *Cod.* κινδύνω *invece di* διὰ (b) *Cod.* στρατιγοὶ (c) *Cod.* πολέμων

3. Tutor non datur filio illius, qui in captivitate est, sed curator substantiae eius; reverso enim patre, in huius permanet potestate, quasi numquam in captivitate fuisset.

4. Curator datur iuveni, qui tutorem aegrotantem vel senem habet, qui potius bonorum administrator est. Et qui adiutor dicitur periculo tutorum a magistratu constituitur.

5. Praefectus et praeses et qui ad tempus provinciae administrationem sustinet, mortuo forte praeside, tutores dare potest.

6. Duces omnes recte tutores dant, sed eos tantum, qui sunt ex exercitu et urbibus eorum, aut ex castris (?) iis subiectis.

7. Mares, qui perfectae sunt aetatis, in tutela exercenda foeminis praeferuntur, nisi forte mater adsit vel avia: hae enim ad

(1) Cf. *Proch. Bas.* XXXVI, 4.

(2) *Proch. Bas.* XXXVI, 5: « Καὶ « τῷ ἔχοντι ἐπίτροπον νοσοῦντα ἢ γέροντα « δίδοται κουράτωρ, ὅστις » &c.

(3) *Proch. Bas.* XXXXI, 6: « Καὶ « ὁ ἔπαρχος » &c.

(4) *Proch. Bas.* XXXVI, 7: « Οἱ στρα- « τηγοὶ πάντες ἐπιτρόπους διδόασιν, ἀλλὰ « μόνους τοὺς ὄντας ἐκ τῶν πόλεων αὐ- « τῶν ἢ τῶν ὑπ' αὐτοὺς ἀγρῶν ». Pare che il nostro non abbia capito il suo testo.

αὗται γὰρ προκαλοῦνται εἰς τὸ ἐπιτροπεύειν παντὸς προσώπου ὀφείλοντος ἐπιτροπεύειν, ἀλλ' οὐχὶ τῶν προσώπων τῶν ἐαθέντων ἐπιτρόπων εἰς τὰς διαθήκας (1).

8. Ὁ πλησιέστερος συγγενὴς ἐπιτροπεύει· εἰ δὲ πολλοὶ ὑπάρχουσιν, οἵτινες ἔχουσι τὸν ὅμοιον βαθμὸν τῆς συγγενείας, πάντες ἐπιτροπεύουσι (2).

Τίτλος λβ.

Περὶ τοῦ πῶς δεῖ ἐνάγειν τοὺς δανειστὰς (a) κατὰ τῶν κληρονόμων (3).

1. Θεσπίζομεν ἵνα μὴ ἔστω τινὶ ἄδεια καὶ ἐξουσία αἰτιᾶσθαι ἢ παρενοχλεῖν, πρὸ τοῦ τελειοῦσθαι τὰς θ' ἡμέρας τοῦ τελευτήσαντος, ἵνα μὴ ἐνοχλήσῃ μήτε κληρονόμον τοῦ τελευτήσαντος, μήτε γο‖νεῖς αὐτοῦ, μήτε c. 56 D
γαμετήν, μήτε συγγενεῖς ἢ ἄλλους τινὰς αὐτοῦ προγενεῖς (b), ἀλλ' οὐδὲ

(a) *Cod.* δανιστὰς (b) *Così il Cod.;* προσγενεῖς *il Proch. Bas.*

tutelam vocantur prae omnibus aliis, qui tutelam gerere debent, exceptis tantum personis, quae in testamentis tutores datae sunt.

8. Proximus cognatus tutelam gerit; et si plures sunt, qui eumdem parentelae gradum obtinent, omnes tutores fiunt.

Titulus XXXII.

Quomodo creditores adversus heredes agere oporteat.

1. Sancimus ne cui facultas sit ac potestas conveniendi aut molestandi, antequam .VIIII. dies a morte transierint; ne scilicet molestet aut heredem defuncti aut parentes eius aut uxorem aut cognatos aut alios eius propinquos, neque admonitionem aliquam

(1) *Proch. Bas.* XXXVI, 8: « Προτιμῶνται τῶν ἀηλειῶν οἱ ἄῤῥενες εἰς τὰς « ἐπιτροπὰς τελείας ἡλικίας ὑπάρχοντες, « εἰ μὴ ἄρα μήτηρ ἢ μάμμη πρόσκειται. « αὗται γὰρ προσκαλοῦνται εἰς τὸ ἐπι« τροπεύειν, προτιμώμεναι παντὸς ἐπιτρο« πεύειν ὀφείλοντος, ἐξῃρημένων μόνων « τῶν κατὰ διαθήκας ἐαθέντων ».

(2) Cf. *Proch. Bas.* XXXVI, 9.

(3) *Proch. Bas.* XXXVII: « Περὶ τοῦ « ποτε δεῖ ... κατὰ τ. κληρονόμων τῶν « τελευτησάντων ».

4. Προστάττομεν, ἐάν τις θελήσῃ ἀνακαινίσαι τὸν παλαιὸν οἶκον, μὴ ἀφίσῃ τὸ παλαιὸν σχῆμα τοῦ οἴκου μήτε ἔχῃ ἄδειαν ἵνα ἀποκόψῃ (a) τὸ φῶς ἢ τὴν ἀπόβλεψιν (b) τῶν γειτόνων, εἰ μὴ ἄρα ἔχῃ τοιαύτην δουλείαν κατὰ σύμφωνον ἢ ἐπερώτησιν (c) ἐπιτρέπουσαν καὶ παραχωροῦσαν δαπανᾶσθαι τὸ σχῆμα τοῦ οἴκου, ὡς ἀγαπᾷ καὶ θέλει (d). ὁ γὰρ ἔχων τοιαύτην δουλείαν ἀκωλύτως οἰκοδομείτω ἃ βούλεται, εἰ μὴ (d) ἄρα βλάπτει τοὺς γείτονας, ἐπειδὴ καὶ τοῦτο ἐξέθη κατὰ τὸ σύμφωνον αὐτῶν ἢ ἐπερώτησιν. ὁπόταν ὑπάρχωσι δύο οἶκοι ἀντικρὺ ἀλλήλων, τουτέστιν ἐνάντιοι ἀλλήλων, πρέπει ἀνάμεσον αὐτῶν τῶν οἴκων ϊβ πόδας εἶναι ἀρχομένους ἀπὸ
c. 57 c | τῆς οἰκοδομῆς ἕως κεῖται εἰς τὰ θεμέλια καὶ μέχρι (e) τοῦ διαστήματος τοῦ ἑτέρου οἴκου. δύνανται δὲ ἕκαστος ἀνοίγειν τὸν ἴδιον οἶκον εἰς ἄπειρον ὕψος καὶ κατασκευάζειν ἐν αὐτῷ θυρίδας παραθυρικάς, εἴτε παλαιὸν οἶκον ἀνασκευάζει, εἴτε νέον οἰκοδομεῖ, εἴτε παλαιὸν ἐκφθαρέντα ὑπὸ τοῦ πυρός (1).

(a) *Così il Cod. Cf. cap. 6* σκάψαι (b) *Cod.* ἀπόβλεψιν (c) *Cod.* ἐπερώτισιν (d) *Così il Cod.* (e) *Cod.* μέχρι

4. Sancimus, si quis veterem domum renovare voluerit, ne antiquam domus formam excedat neve licentiam habeat auferendi lumen vel prospectum vicinorum, nisi forte huiusmodi habeat servitutem ex conventione vel stipulatione, quae concedat et permittat domus formam, prout ei melius placuerit, immutare. Qui enim hanc habet servitutem sine impedimento quae velit aedificet, etiam si forte vicinos laedat, quoniam et hoc per pactum vel conventionem statutum est. Cum duae domus ex adversa regione sitae sunt, h. e. inter sese oppositae, oportet ut inter eas .XII. pedes intersint, qui incipiant ab aedificio fundamentis imposito et usque ad aliae domus intervallum (!). Unusquisque aedem suam ad indefinitam altitudinem excitare potest, et in ea fenestras prospectivas aperire, sive veterem domum instauret, sive novam aedificet, sive antiquam igne corruptam.

« γίνεται τὸ ἔργον, εἰ καὶ ἑνὶ μόνῳ πα-
« ραγγελθῇ ... τὰ παρὰ ἑτέρου γινόμενα
« καταβλάπτειν τοὺς μηδὲν πεποιηκό-
« τας ».

(1) *Proch. Bas.* XXXVIII, 4: « Προσ-
« τάττομεν, ἵνα ὁ τὸν παλαιὸν οἶκον ἀνα-
« νεῶν τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω,
« μηδὲ ἀφαιρείσθω τὰ φῶτα ἢ τὴν ἀπο-
« ψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν
« ἔχοι ... ἐπιτρέπουσαν ὡς βούλεται τὸ
« παλαιὸν ἐναμείβειν σχῆμα ».

(2) Loc. cit.: « ... χρὴ μεταξὺ αὐτῶν

5. Ἐν ταύτῃ τῇ εὐδαίμονι τῶν πόλεων ἀπόβλεψιν ἔχειν τοῦ γείτονος ιβ̄ μόνους πόδας ἀπαιτεῖ, ἐὰν ὁρᾷ τὴν θάλασσαν ἀπὸ ὀρθῆς βλέψεως ἑστὼς ὁ ἄνθρωπος ἐν τοῖς ἰδίοις οἴκοις ἢ καὶ καθήμενος ἐν αὐτοῖς καὶ μὴ ἀναγκαζόμενος παρατρέπειν ἑαυτὸν ἐκ (a) πλαγίου, ἵνα ἴδῃ τὴν θάλασσαν. ἐὰν δὲ μέσον τῶν δύω οἴκων ρ' ποδῶν εἴη τὸ διάστημα, δύναται ἀκωλύτως κτίζειν καὶ ἐπὶ τὴν θάλασσαν τὴν ‖ ἀπόβλεψιν λαβεῖν τῶν γειτόνων αὐτοῦ (1). c. 57 D

6. Ἐάν τις ἀπόβλεψιν ἐπὶ θάλασσαν (b) ποιήσῃ ἀπὸ μαγειρείου (c) ἢ ἀπὸ ἀφεδρῶνος ἢ ἀπὸ κλίμακος ἢ βαστερνίων, τουτέστι διαβατικῶν, ἐντὸς (d) ρ' ποδῶν οἰκοδομῶν ἀκωλύτως δύναται σπάραι (e) τὴν ἀπόβλεψιν τοῦ γείτονος. εἰ δὲ καὶ σύμφωνόν ἐστιν ἐπιτρέπον καὶ κελεῦον τὴν οἰκοδομήν, κρατεῖ τὸ σύμφωνον, εἰ καὶ τάχα βλάπτει τὸν γείτονα περὶ ἀπόβλεψιν τῆς θαλάσσης, εἴτε συνεφώνησεν αὐτὸς ὁ νῦν δεσπόζων τοῦ οἴκου,

(a) *Cod.* εἰς (b) ἐπὶ θάλασσαν] *Mancano queste parole nel Cod.* (c) *Cod.* μαγυρίου (d) *Forse* ὁ ἐντὸς (e) *Cf. cap.* 4 ἐσπάρῃ

5. In hac felici inter urbes vicini prospectum .XII. tantum pedum esse sufficit, si ille in mare directo intuitu prospicit stans in suis aedibus vel etiam sedens in iis neque cogitur sese in obliquum vertere ut mare videat. Sin vero inter duas aedes .C. pedum intervallum sit, absque impedimento aedificare et vicinorum suorum in mare prospectum auferre potest.

6. Si quis prospectum (in mare) habet ex culina aut ex latrina aut scalis aut basternis, h. e. meatibus, qui intra .C. pedes aedificat absque ulla fraude vicini prospectum auferre potest. Quod si et conventio intersit, quae aedificare concedit et permittit, valet conventio, licet vicinum circa prospectum in mare laedat, sive ipse qui nunc est aedium dominus ita pactus sit, sive

« ιβ̄ πόδος εἶναι, ἀρχομένους ἀπὸ τοῦ ἐπι-
« κειμένου τοῖς θεμελίοις οἰκοδομήματος
« καὶ μέχρι παντὸς τοῦ ὕψους φυλαττο-
« μένους. τούτου γὰρ τοῦ διαστήματος
« φυλαττομένου, ἔξεστιν ἑκάστῳ εἰς ἄπει-
« ρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον » &c.

(1) *Proch. Bas.* XXXVIII, 5: « Ἐν
« ταύτῃ τῇ εὐδαίμονι πόλει ἄποψιν τοῦ
« γείτονος ιβ̄ μόνους ἀπαιτῶν πόδας μὴ
« ἀφαιρείσθω, ἐὰν ἐξ εὐθείας ὁρᾷ τὴν θά-
« λασσαν ἑστὼς ἐν τοῖς..., ἐφ' ᾧ ἰδεῖν
« τ. θ. » &c.

εἴτε οἱ προκτησάμενοι [a] αὐτὸν τὸν οἶκον· οὐδὲ γὰρ πρέπει ἀπολε σθῆναι τὰς ὑπαρχούσας δουλείας τινὶ διὰ τὸν γενικὸν νόμον [1].

7. Οὐ [b] δύναται ὁ εἷς τῶν κοινωνῶν παρὰ τὴν γνώμην καὶ θέλησι τοῦ ἑτέρου κοινωνοῦ ἐπιτιθέναι δουλείαν τοῖς ἐπικοίνοις οἰκήμασιν [2]

8. Οὐ φυλάττεται ἡ δουλεία τῆς ἀποβλέψεως κατὰ τὸ δένδρο καὶ κῆπον [3].

c. 57 bis A 9. Ὅτε οἰκοδομῇ τις τὸν ἑαυτοῦ οἶκον, μέσου ὄντος [c] στενωπο ἢ πλατείας ῥύμης, εἰ καὶ τάχα τὸ μέτρον τοῦ στενωποῦ καὶ τῆς πλα τείας ῥύμης πλέον ἔχει τῶν δώδεκα ποδῶν, οὐ δύναται λαβεῖν τὸ πε ριττὸν καὶ σμῖξαι [d] τῷ ἰδίῳ· οὐδὲ γὰρ ὥρισεν ἡ διάταξις τοὺς ιβ πο δας ἐπὶ βλάβῃ τοῦ δημοσίου, ἀλλ' ὥστε μὴ στενώτερον εἶναι τὸν ἀέρ ιβ ποδῶν τὸν ὑπάρχοντα μεταξὺ τῶν οἴκων· ὅτε δὲ εὑρεθῇ πλεῖ τὸ μέτρον κατὰ τοῦ στενωποῦ ἢ πλατείας τῆς ῥύμης, μηδὲν δύνατα

(a) *Cod.* προκτισάμενοι (b) Οὐ *manca nel Cod.* (c) *Cod.* ἐντὸς *Cf. Procl Bas. XXVIII, 8.* (d) *Così il Cod.*

qui antea aedes possedere: non enim oportet servitutes alicu competentes per legem generalem tolli.

7. (Non) potest unus ex sociis contra consensum ac volun tatem alterius communibus aedibus servitutem imponere.

8. Non observatur servitus prospectus in arbore et horto.

9. Quando quis domum suam aedificat, interiacente angiporti vel platea, licet mensura angiportus vel plateae plus duodecim pedibus habeat, quod excedit occupare ac domui suae adicere nequit. Constitutio enim .XII. pedes non in damnum publicum praescripsit, sed ne inter aedes aër .XII. pedibus angustior interesset. Ubi vero angiportus vel plateae mensura amplior inveniatur, nihil inde auferri potest, sed civitati propria servanda. Sin autem inter

(1) *Proch. Bas.* XXXVIII, 6: « Εἰ δέ « τις ἀπὸ μαγειρείου... ἢ ἀπὸ βαστερ- « νιων, ἤγουν τῶν λεγομένων πα- « ρόδων ἤτοι διαβατικῶν, ἀποψιν ἐπὶ « θάλασσαν ἔχει, τὴν τοιαύτην ἀποψιν « καὶ ὁ ἐντὸς ρ' ποδῶν οἰκοδομῶ, ἀκο- « λύτως ἀφαιρεῖται, εἰ μόνον ιβ πό- « δες εἰσὶ μεταξὺ τῶν δύο οἴκων... « οὐδὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ « δουλείας διὰ τῶν γενικῶν νόμων ἀναι- « ρεῖσθαι ».

(2) *Proch. Bas.* XXXVIII, 7: « Δου- « λείαν ἐπιτιθέναι τοῖς ἐπικοίνοις οἰκήμα- « σιν ὁ εἷς τῶν κοινωνῶν παρὰ γνώμην « τοῦ ἑτέρου οὐ δύναται ».

(3) *Proch. Bas.* XXXVIII, 8: « Κατὰ « δένδρων μέντοι καὶ κήπων δουλεία ἀπό- « ψεως οὐ φυλάττεται ».

ἀφαιρεῖσθαι ἐξ αὐτοῦ, ἀλλὰ τὰ οἰκεῖα περισώζεσθαι τῇ πόλει. εἰ δὲ παλαιῶν ὄντων τῶν οἴκων στενώτερος (a) εὑρεθῇ ὁ ἀὴρ (b) τῶν ιβ̄ ποδῶν, οὐκ ἔχει ἄδειαν (c) ὑψῶσαι αὐτὸν πλέον παρ' ὃ ὑπῆρχεν ὁ παλαιὸς οἶκος, ἢ θυρίδας ἄλλας ποιῆσαι, ‖ ἃς οὐκ εἶχε τὸ παλαιὸν σχῆμα (1). c. 57 bis a
εἰ δὲ εἴησαν πόδες ι' ἀνάμεσον τῶν β' οἴκων, τότε οὐκ ἔχει ἄδειαν ὁ κτίζων ποιῆσαι παρακυπτικάς, εἰ μὴ πρότερον εἶχεν αὐτάς, φωταγωγοὺς δὲ δύναται ἑαυτῷ ποιῆσαι ἀπὸ ἓξ ποδῶν τοῦ πάτου ἀνοιγομένας· μηδενὸς δυναμένου ποιεῖν ψευδοπάτιον ἐν τῷ ἰδίῳ οἴκῳ (d), καὶ διὰ τοῦτο φωταγωγὸν θυρίδα δύναται παρασκευάσαι (e) (2).

10. Οὐδεὶς τῶν κοινωνῶν δύναται παρὰ γνώμην καὶ θέλησιν τοῦ ἰδίου κοινωνοῦ καταλύειν τὸν ἐπίκοινον τοῖχον καὶ ἀνανεοῦν (f) αὐτόν, διότι οὐκ ἐστι μόνος δεσπότης αὐτός (3).

(a) *Cod.* στενότερος (b) εὑρεθῇ ὁ ἀὴρ] *Parole mancanti nel Cod.* (c) *Cod.* ἄδιαν (d) τοῦ πάτου – τῷ ἰδίῳ οἴκῳ] *Parole supplite dal Proch. Bas. XXXVIII, 10.* (e) παρασκευᾶσαι *da* παρασκευᾶσθαι, *per correzione di 2ª mano.* (f) *Cod.* ἀνανεοῖν

vetustas domos (aër) .XII. pedibus angustior (sit, nemo) licentiam habeat domum extollendi plus quam antiqua domus erat, aut alias fenestras aperiendi, quas antiqua forma non habebat. Quod si .X. pedes inter duas domus sint, tunc qui aedificat prospectivas facere non potest, nisi eas ante habuerit, luciferas vero sibi facere potest a sexto pede (supra solum aperiendas. Ceterum nemo in domo sua falsum facere potest solum) et ita luciferam fenestram reddere (prospectivam).

10. Nemo ex sociis citra consensum voluntatemque socii sui parietem communem demoliri et reficere potest, quia ipse non solus dominus est.

(1) *Proch. Bas.* XXVIII, 9: « Ὅτι « μέσου ὄντος στενωποῦ ἢ πλατείας ὁδοῦ « οἰκοδομεῖ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ « πλεῖον ἔχει τῶν ιβ̄ ποδῶν τὸ τοῦ στε- « νωποῦ ἢ τῆς πλατείας μέτρον, μὴ ἀφαι- « ρείσθω τὸ περιττὸν καὶ τῷ ἰδίῳ οἴκῳ « προστιθέτω ... ἐὰν δὲ παλαιῶν ὄντων « τῶν οἴκων εὑρεθῇ μεταξὺ αὐτῶν « καθαρὸς ἀὴρ στενώτερος ὢν τῶν « ιβ̄ ποδῶν, μηδενὶ αὐτῶν ἐξέστω παρὰ « τὸ παλαιὸν σχῆμα ὑψοῦν τὸν ἴδιον οἶκον « ἢ θυρίδας ποιεῖν ».

(2) Dopo le parole mancanti nel nostro e che abbiamo, per l'intelligenza del testo, riferite dal *Proch. Bas.* XXXVIII, 10, questo continua: « ... καὶ « διὰ τοῦτο τὴν φωταγωγὸν θυρίδα κα- « τασκευάζειν παρακυπτικήν »: la quale frase mostra che l'ultima del nostro è errata, e mostra ancora che il nostro manoscritto non è del redattore del nostro *Prochiron*.

(3) *Proch. Bas.* XXXVIII, 11: « Τὸν « ἐπίκοινον τοῖχον οὐδέτερος τῶν κοινωνῶν

11. Οὐκ ἐστι κώλυσις εἰς τὸν κτίζοντα εἰς τόπον γυμνόν, τουτέ
στιν εἰς τόπον ἔνθα οὐ βλάπτεται ὁ γείτων παρὰ τοῦ κτίσματος (1)

12. Ἐάν τις θελήσῃ ἀνανεῶσαι ἢ ὑψῶσαι τὸν πεσόντα οἶκον, ο
μέλλει ἐμποδίσαι (a) εἰς τὴν φωταγωγίαν (b) τοῦ γείτονος, ἢ ἕτερόν
c. 57 bis o ποιῆσαι εἰς βλάβην αὐτοῦ, ἀλλ' ἀναγκάζεται φυλάττειν ‖ καὶ τὸν πρω
τινὸν τύπον καὶ τὴν κατάστασιν καὶ τὸ παλαιὸν σχῆμα (2).

13. Ἐάν τις ἔχῃ δίκαιον, ἐπ' ἄπειρον ὑψῶσαι τὸν ἑαυτοῦ οἶκο
δύναται, ἀλλ' οὖν μὴ βαρύνειν τὸν οἶκον τοῦ γείτονος αὐτοῦ· δμω
βαρυτέραν δουλείαν οὐ (c) μέλλει ὑποφέρειν παρ' ὃ ἔπρεπεν (3).

14. Οὐ καλῶς κωλύει τις (d) τὸν ἑαυτοῦ γείτονα, ἵνα μὴ ἀνοί
πυλεῶνα κατὰ τῆς δημοσίας ὁδοῦ ἐν τοῖς σταλαγμοῖς τοῖς ὑπάρχουσ
ἀπὸ τῶν κεράμων αὐτῶν, ἐν ᾧ μὴ βλάπτει (e) τὴν ὁδόν (4).

(a) *Cod.* ἐμποδῆσαι (b) *Cod.* φωταγωγῖαν (c) *Manca questa parola nel Co*
(d) *Cod.* τοὺς (e) *Così il Cod.*

11. Nullum est impedimentum aedificanti in nudo loco, h. e
in loco ubi vicinus aedificio non laeditur.

12. Si quis collapsam domum reficere vel altius tollere veli
luminibus vicini officere vel aliud quid in eius damnum facere ne
quit, sed cogitur servare et veterem formam et statum et antiquan
speciem.

13. Si quis ius habet, in infinitum aedes suas tollere potest
modo vicini sui aedes non gravet; pariterque graviorem quam dece
servitutem inferre (non) debet.

14. Haud recte quis vicinum suum prohibet, ne ianuam in pu-
blica via aperiat intra tecti sui stillicidia, dummodo viae non noceat

« δύναται καταλύειν ἢ ἀνανεοῦν παρὰ γνώ-
« μην τοῦ κοινωνοῦ, ἐπειδὴ οὐκ ἐστι μόνος
« δεσπότης ».

(1) *Proch. Bas.* XXXVIII, 12: « Ἀπὸ
« γυμνοῦ τόπου οὐκ ἐστι κώλυσις τὸ
« ὑψοῦν ».

(2) *Proch. Bas.* XXXVIII, 13: « Ἐὰν
« τὸν πεσόντα οἶκον ἀνανεῶν βούληται
« ὑψῶσαι καὶ ἐμποδίσαι τοῖς τοῦ γείτονος
« φωσὶν ἢ ..., ἀναγκάζεται καὶ τὸν τύπον
« καὶ τὴν κατάστασιν τῶν πρώην οἰκημά-
« των καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν ».

(3) *Proch. Bas.* XXXVIII, 14: « Οὗ-
« τινος τὰ οἰκήματα δικαίῳ δου-
« λείας ὑπέρκειται, ἐν τῇ ἐξουσίᾳ
« τούτου ἐστὶν ἐπ' ἄπειρον ταῦτα ὑψοῦν,
« ἐν ᾧ μέντοι τὰ ὑποκείμενα οἰκήματα
« τοῦ γείτονος μὴ βαρύνειν δουλείᾳ βαρυ-
« τέρᾳ παρ' ἣν φέρειν ὀφείλουσιν ».

(4) *Proch. Bas.* XXXVIII, 15:
« ... κατὰ τῆς δημοσίας ἐντὸς τοῦ ἀπὸ
« τῶν κεράμων αὐτοῦ σταλαγμοῦ » &c.

15. Ἐὰν ξηρανθεῖσα ἡ πηγή, ἀφ' ἧς εἵλκέ τις ὕδωρ, καὶ μετὰ καιρὸν ἐπανέλθοι εἰς τὰς ἴδίας φλέβας καὶ εἰς τὴν προτέραν τάξιν, καὶ πάλιν ἄρξηται φέρειν τὸ ὕδωρ ὡς καὶ πρότερον, ἀνανεοῦται καὶ ἀποκαθίσταται αὐτῷ ἡ δουλεία τοῦ ὕδατος καὶ ὁ ἑλκυσμός, καθὼς εἶχεν αὐτὸν τὸ πρότερον (1).

16. Οὐ δύναταί τις ποιῆσαι φοῦρνον ἢ πῦρ ἀνάπτειν ἐν τῷ ‖ ἐπικοίνῳ τοίχῳ, ἐὰν οὗτος βλάπτεται (2). c. 57 bis D

17. Ἐάν τις ποιήσῃ πυρεψίον (a) (3), ἀφ' οὗ πεμπόμενος ὁ καπνὸς βλάπτει τοὺς κατοικροῦντας ἐν τοῖς ὑψηλοτέροις οἴκοις, καλῶς δύνανται κατὰ τοὺς νόμους οἱ βλαπτόμενοι κωλῦσαι αὐτὸν τὸν καπνὸν μὴ γίνεσθαι (b) πλέον ἐκεῖ, εἰ μὴ ἄρα ἔχουσιν ἐκ συμφώνου ἢ ἐξ ἄλλου δικαίου εἰσπέμπειν τὸν καπνόν. ἀλλὰ καὶ εἰς τὸ ἐναντίον τούτου θεσπίζομεν, ἐὰν οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις οἰκοῦντες ῥίπτουσιν ὕδωρ ἢ κόπρον καὶ βλάπτουσι τοὺς κατοικοῦντας ἐν τοῖς κατωτέροις οἴκοις,

(a) πυρεψίον] *Così il Cod.* (b) *Cod.* γένεσθαι

15. Si exaruerit fons, unde quis aquam ducebat, et postmodo ad proprias venas prioremque statum redierit ac rursus aquam ferre coeperit, renovatur et restituitur illi servitus aquae et deductio, quemadmodum antea habebat.

16. Non potest quis furnum facere vel focum in muro communi aptare, si hic laeditur.

17. Si quis caminum (?) fecerit, ex quo fumus emissus superius habitantibus molestus sit, recte possunt secundum leges qui laeduntur eum prohibere ne amplius fumus ibi immittatur, nisi forte ex contractu vel alio iure (potestatem) fumum immittendi habeat. Sed etiam e contrario statuimus ut, si superiorum contignationum inquilini aquam vel stercus deiciant et inferius habi-

(1) *Proch. Bas.* XXXVIII, 16: « Ἐὰν « ἡ πηγή, ἀφ' ἧς ἕλκει τις ὕδωρ, ξηραν- « θεῖσα ἐπί τινας χρόνους αὖθις πρὸς « τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, καὶ πάλιν « τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται « αὐτῷ ἡ δουλεία καὶ ἀποκαθίσταται αὐτῷ « ὁ τοῦ ὕδατος ἑλκυσμός, καθὼς ἦν τὸ « πρότερον ».

(2) *Proch. Bas.* XXXVIII, 17: « Οὔτε « φοῦρνον οὔτε ἑστίαν ἐν τῷ ἐπικοίνῳ « τοίχῳ δύναταί τις ποιεῖν, ἐν ᾧ τὸν ἐπί- « κοινον τοῖχον τὸ πῦρ καταβλάπτει ».

(3) Alcuni manoscritti del *Proch. Bas.* XXXVIII, 18, hanno « τυρεψεῖον », « taberna casearia », come nei *Digesti*, VIII, 5, 8, 5; però il codice Bodlejano 3399 ha « πυρεψεῖον » : cf. ediz. ZACHARIAE, p. 214, n. 40.

κωλύονται οὗτοι τοῦτο ποιῆσαι. ἐπὶ τοσοῦτον γὰρ δύναταί τις ποιῆσαι ἐν τοῖς ἑαυτοῦ οἴκοις, ἐφ' ὅσον ἕτερον μὴ καταβλάπτῃ. τὸ αὐτὸ καὶ περὶ δυσωδίας κελεύομεν (1).

18. Ἐὰν ὁ τοῖχός σου κλίνῃ καὶ κύπτῃ ἥμισυ ποδὸς κατὰ τοῦ ἐμοῦ οἴκου, δύναμαί σε ἀναγκάσαι ἀνορθῶσαι αὐτόν, ἵνα μὴ πέσῃ καὶ βλάψῃ τὸν οἴκόν μου (2).

c. 58 a 19. Ἐὰν δὲ τὸ δένδρον τοῦ γείτονός μου κείμενον ἐν τῷ μεσαυλίῳ μεγάλας ἁπλώσῃ ῥίζας, ὥστε βλάψαι τὸν οἴκόν μου, ἀναγκαζέσθω τῇ προνοίᾳ τοῦ ἄρχοντος ὁ γείτων μου ἐκτέμνειν αὐτό (3).

20. Ἐάν τις ποιήσῃ βιαστικῶς θυρίδας κατὰ τοῦ ξένου οἴκου, ἀναγκαζέσθω ἀποκαταστῆσαι τὸ ἀρχαῖον σχῆμα ἰδίοις ἀναλώμασι, τουτέστιν ἰδίαις δαπάναις (4).

21. Οὐδεὶς δύναται ἔχειν κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου,

tantibus noceant, et hi quoque hoc facere prohibeantur. Hactenus enim in aedibus suis (quid) quis facere potest, quatenus alii molestus non sit. Idem et de foetore iubemus.

18. Si murus tuus semipedem in aedes meas inclinet ac procumbat, ego te cogere possum eum erigere, ne cadat aedesque meas laedat.

19. Si arbor vicini mei in area posita magnas extendat radices aedibusque meis noceat, iudicis providentia vicinus meus eam rescindere cogatur.

20. Si quis per vim fenestras in extranea domo fecerit, pristinam formam suis ἀναλώμασι, h. e. suis impensis, restituere cogatur.

21. Nemo habere potest sterquilinium ad murum alienum, nisi

(1) *Proch. Bas.* loc. cit.: « ... δύναντται... οἱ βλαπτόμενοι κωλύειν αὐτὸν « εἰσπέμπειν τὸν καπνόν, εἰ μὴ ἄρα τι « δίκαιον παρεχώρησαν αὐτῷ τοῦ εἰσπέμ- « πειν τὸν καπνόν. ἀλλὰ καὶ τὸ ἀνά- « παλιν, εἰ οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις » οἰκοῦντες... βλάπτουσι τοὺς ἐν τοῖς « χθαμαλωτέροις οἰκοῦντας, κωλύονται « τοῦτο ποιεῖν » &c.

(2) *Proch. Bas.* XXXVIII, 19: « Ἐὰν « ὁ τοῖχός σου κατὰ τοῦ οἴκου μου κλίνῃ « ἥμισυ ποδός, ἀναγκάζω σε ἀνορθοῦν « αὐτόν ».

(3) *Proch. Bas.* XXXVIII, 20: « Ἐὰν « δένδρον... μεγάλας ἐκτεῖναν ῥίζας τοὺς « θεμελίους τῆς ἐμῆς οἰκίας βλά- « πτῃ » &c.

(4) *Proch. Bas.* XXXVIII, 21: « Ἐάν « τις κατὰ ἀλλοτρίου τοίχου κατὰ βίαν « θυρίδα ποιήσῃ, ἀναγκάζεται » &c.

εἰ μὴ ἄρα ἔχῃ τοιαύτην δουλείαν, ἢ ἀπὸ συμφώνου ἢ ἐξ ἄλλου δικαίου τινός (1).

22. Ἐὰν γένηται χρεία ἵνα ἀλλαχθῶσι τὰ σκεπάσματα τῶν σωληναρίων, προστάσσομεν ἵνα ἕκαστος τῶν καθεδρίων διορθώσῃ τὰ σκεπάσ‖ματα τῶν ὑδραγωγίων, ὁ καθεῖς ἀρχόμενος ἀπὸ τῆς ἰδίας καθέδρας c. 58 B
ἄχρις ἂν φθάσῃ (a) τὴν καθέδραν ἑτέρου γείτονος αὐτοῦ (2).

23. Ὡσαύτως δεῖ καθαίρειν καὶ ἐπανορθοῦν (b) τοὺς ὑπονομιαίους καράβους, τουτέστι τοὺς ὑδραγωγοὺς τῶν περιβολίων καὶ κήπων καὶ ἀμπελίων, ἀρχόμενος ἕκαστος ἀπὸ τοῦ ἰδίου τόπου, ἄχρις ἂν φθάσῃ τὸν ὅρον ἑτέρου δεσπότου. εἰ δὲ καὶ εἰς κῆπον κατέρχεται ὁ αὐτὸς ὑπονομιαῖος κάραβος, μέλλει ὁ κύριος τοῦ κήπου ὀρύγειν καὶ ἀνοίγειν τὴν ἀρδευομένην καὶ ποτιζομένην γῆν, καὶ ἀνακαθᾶραι τοὺς νεμομένους τῆς σαπρίας τοῦ τοιούτου κήπου ἔξω ῥιπτομένης (c) τοῦ κήπου (3).

(a) *Cod.* φθάσει (b) *Cod.* ἐπανορθοῖν (c) *Cod.* ἐξωριπτομένως

forte huiusmodi habeat servitutem, aut ex contractu aut alio quocumque iure.

22. Si necesse sit ut imbrices innoventur, volumus ut unusquisque fistulas canalium reficiat, incipiens a suo meatu donec ad alterius vicini meatum perveniat.

23. Eodem modo repurgare et reficere oportet cloacarios alveos, h. e. aquaeductus clausurarum (?) et hortorum et vinearum, ut unusquisque a suo incipiat loco donec ad alterius domini fines perveniat. Quod si hortum perfluat ipse cloacarius alveus, dominus horti effodere et extrahere irriguam et humidam terram debet et quos possidet (alveos) horti putredine repurgare, ex horto proiciens.

(1) Cf. *Proch. Bas.* XXXVIII, 22.

(2) *Proch. Bas.* XXXVIII, 23: « Ἐάν « τις γένηται χρεία ὑπαλλαγῆς ὀστράκων « σωληναρίων τῶν καθεδρίων, ἕκα- « στος ἀπὸ τοῦ ἰδίου καθεδρίου ἀρχόμενος « διορθούσθω μέχρις ἂν φθάσῃ ἑτέρου « γείτονος καθέδριον ».

(3) *Proch. Bas.* XXXVIII, 24: « Τοὺς « ὑπονομιαίους καράβους οὕτως δεῖ κα- « θαίρειν καὶ ἐπανορθοῦν..., μέχρις ἂν « φθάσωσιν ἑτέρων ἑτεροδεσπότων τόπων, « [Bodlej. 3399: ἑτέρων δεσποτῶν τόπον], « ἤγουν χριστηρίων, [mancano « queste due parole nel cod. Bodlej.] « κατὰ ἀναλογίαν τῶν ἀνωτέρω « ῥηθέντων καὶ ὄντων ἐν τοῖς « κατάγουσιν ἐπικοίνων καθε- « δρίων. εἰ δὲ καὶ κῆπον παρέρχεται « [Bodlej. εἰς κῆπον κατέρχεται, come il « nostro] ὁ αὐτος ὑ. κάραβος, τὸν κύριον

24. Οὐ γίνεται τοῦτο σύμφωνον, ἐὰν συμφωνήσω σοι ἵνα μὴ ἔξω
c. 58 c ἐξουσίαν ἅπτειν ἑστίαν ἐν τῷ οἴκῳ μου, ἢ πῦρ ‖ ἀνάπτειν, ἢ καὶ κομᾶσθαι ἢ λούεσθαι· εἰ γὰρ τοῦτο συμφωνηθῇ, ἀνίσχυρον πάντως καὶ ἀδύνατόν ἐστιν (1).

25. Ὅσα σύμφωνα γένηται ὑπεναντία τοῦ νόμου ἢ τῶν καλῶν τρόπων, ταῦτα θεσπίζομεν μηδεμίαν δύναμιν ἔχειν· καὶ τοῦτο ἀναμφιβόλου νομίμου ὑπάρχει (2).

26. Ἐάν τις πωλήσῃ οἶκον καὶ εἴπῃ τῷ ἀγοραστῇ γενικῶς (a), ὅτι ὁ οἶκος οὗτος, ὃν πιπράσκω σοι, βαρύνεται δουλείᾳ, οὐδ' ὅλως ἀναγκάζεται ἐλεύθερον αὐτὸν δουλείας παραδοῦναι. ὅθεν κἂν μὴ ἐδούλευσε, δύναται δουλείαν ἐπιτιθέναι, ἵνα δουλεύσῃ τῷ οἴκῳ τοῦ πράτου ἢ τῷ ξένῳ οἴκῳ. εἰ δὲ εἴπῃ ἰδικῶς, ὅτε πωλήσῃ τὸν οἶκον· τῷ οἴκῳ τοῦ

(a) *Cod.* ἐνικῶς

24. Non valet haec conventio, si nempe tecum paciscar, ne mihi liceat in domo mea focum accommodare vel ignem accendere, aut sedere et lavare. Si hoc enim conveniatur, omnino irritum et invalidum est.

25. Quaecumque pacta contra legem vel bonos mores fiunt, nullam ea volumus habere firmitatem; quod et indubitati iuris est.

26. Si quis domum vendiderit ac emtori generaliter dixerit: « domus haec, quam tibi vendo, servitute gravatur », nullo modo eam servitute liberam tradere cogitur. Unde, licet non servierit, servitutem imponere potest, ita ut venditoris aedibus vel alienis aedibus serviat. Quod si qui domum vendidit, specialiter dixerit:

« τοῦ κήπου ὀρύγειν τὴν ἀρδευομένην γῆν « καὶ ἀνακαθαίρειν τοὺς νεμομένους, τῆς « μεροποιήσεως ὀφειλούσης γε- « νέσθαι ἐκ τοῦ νεμομένου τὸν « τοιοῦτον κῆπον, τῆς σαπρίας ῥιπ- « τομένης ἔξω τοῦ τοιούτου κήπου ».

(1) *Proch. Bas.* XXXVIII, 25: « Οὐ « συνίσταται τοιοῦτον εἶδος δουλείας « ὥστε μὴ ἐξεῖναί με ἐν τῷ οἴκῳ μου τὴν « ἑστίαν ἅπτειν ἢ πυρὰν ἅπτειν [Bodlej. « come il nostro: πῦρ ἀνάπτειν], καὶ κα- « θέζεσθαι ἢ λούεσθαι. ὅθεν κἂν ταῦτα « συμφωνηθῇ, ἀνίσχυρα κατὰ νόμον εἰσίν ».

(2) *Proch. Bas.* XXXVIII, 26: « ... ταῦτα μηδεμίαν ἔχειν ἰσχὺν ἀναμφι- « βόλου νομίμου ἐστίν ». Qui, come in molti altri luoghi, il « θεσπίζομεν », o altro verbo equivalente, è aggiunto dal nostro e parrebbe quasi accennasse ad una nuova promulgazione, che s' intendeva fare di queste leggi dall' autorità competente.

δεῖνα δουλεύει ὁ οἶκός μου, καὶ παραχωρήσει ἐκείνῳ τὴν δουλείαν, ζήτησιν οὐκ ἔχει (1).

27. Εἶδος δουλείας ἐστὶ τοῦ μὴ ἔχειν ἄδεικέν τινα ἄνθρωπον ἐπιπέμπειν τῷ γείτονι καπνὸν ἀπὸ τοῦ πυρεψίου ἢ καπνοδόχου βαλανείου (a), ἢ κόπρον ἢ ὕδωρ ῥίπτειν κατὰ τοῦ γείτονος (2). c. 58 b

28. Ἐὰν χρεωστῶ σοι δουλείαν τοῦ μὴ κτίσαι, καὶ κτίσω, καὶ παρέλθῃ μακρὸς χρόνος, τουτέστιν τῶν λ' ἐτῶν, ἀπόλλυται ἡ κατ' ἐμοῦ δουλεία σου διὰ τοῦ χρόνου (3).

29. Δύναμαι στῆσαι σκάλαν πλησίον τοῦ κοινωνοῦ τοίχου, οὐδὲ γὰρ μία βλάβη ἔρχεται ἐντεῦθεν (4).

30. Ἐὰν χρεωστῇς μοι τοιαύτην δουλείαν, ὥστε μὴ δύνασθαί σε εἰς ὕψος ἐπαίρειν τὸν σὸν οἶκον, ἵνα μὴ ἐμποδίσῃ τῷ φωτὶ τῆς ἐμῆς

(a) *Cod.* βαλανίου

« domus mea domui illius servit », et illi servitutem concesserit, controversiam non habet.

27. Species servitutis est, non licere alicui fumum ex camino vel balneo immittere vicino, aut stercus aut aquam in vicinum deicere.

28. Si tibi servitutem non aedificandi debeam et aedificaverim ac longum tempus, h. e. .xxx. annorum, transierit, perit servitus tua in me propter tempus.

29. Scalam prope murum communem statuere possum; nullum enim inde damnum oritur.

30. Si huiusmodi mihi debes servitutem, ne tibi aedes tuas altius tollere liceat, ut domus meae lumini non officias, quod

(1) *Proch. Bas.* XXXVIII, 27: « Ἐάν « τις πιπράσκων οἶκον εἴπῃ..., ὅτι « δουλείᾳ βεβάρυται ὁ οἶκος, οὐκ ἀναγκά- « ζεται... εἰ δὲ ὅ τε πιπράσκων ἰδι- « κῶς εἴπῃ τῷ δεῖνι· δουλεύει ὁ οἶκος » &c.

(2) *Proch. Bas.* XXXVIII, 28: « Τοῦ « μὴ ἐξεῖναί τινι καπνὸν ἀπὸ ποδο- « ψείου ἢ καπνοδόχον βαλανείου ἐπι- « πέμπειν τῷ γείτονι, ἢ κόπρον ἢ ὕδωρ « ῥίπτειν, εἶδος δουλείας ἐστίν ». Sulla voce « ποδοψείου » che in alcuni codici è « ποδεψείου » e in uno « δεψείου » cf. la nota dello ZACHARIAE a questo luogo.

(3) Cf. *Proch. Bas.* XXXVIII, 29.

(4) *Proch. Bas.* XXXVIII, 30: « Κλί- « μακα τοῦ κοινοῦ τοίχου πλησίον δύ- « ναμαι στῆσαι. οὐδεμία γὰρ ἐνταῦθεν « προσγίνεται βλάβη διὰ τὸ τὴν ἀφαί- « ρεσιν αὐτοῦ εὔκολον εἶναι ». Quest'ultima frase è tralasciata dal nostro con pregiudizio della chiarezza dell' intero capitolo.

οἰκίας [a], ὅπερ φῶς ἐχορηγεῖτό μοι διὰ τῶν θυρίδων τῶν οὐσῶν ἐν τῷ ἐμῷ οἴκῳ, καὶ [b] ἐγὼ [1] ἤλωσα τὰς ἐμὰς θυρίδας ἢ ἀνῳκοδόμησα αὐτὰς
c. 59 A ἐπὶ ι' ἢ κ' ἔτη, τουτέστιν ἔφραξα [c] αὐτάς, καὶ ἔμεινε τοῦτο τὸ σχῆμα ἐπὶ τῶν εἰρημένων χρόνων, τηνικαῦτα διαφθείρεται τὸ δίκαιον τῆς δουλείας, ὁπόταν ἀνύψωσας σὺ τὴν σὴν οἰκίαν καὶ ἔμεινεν αὕτη ἀρθεῖσα εἰς ὕψος ἄχρι ι' ἐτῶν ἢ κ' [2]. Ἰδοὺ γὰρ ἐνταῦθα κἀγὼ τῇ δουλείᾳ οὐκ ἐχρησάμην διότι πεφραγμένας ἢ ἡλωμένας εἶχον τὰς θυρίδας, καὶ σὺ καλῶς περιεποιήσω καὶ ὑπέκτησας σεαυτῷ τὴν ἐλευθερίαν τοῦ ἀνυψῶσαι τὸν οἶκον, ὃν ἀνυψῶσαι οὐκ ἴσχυσας πρὸ τοῦ ἡλῶσαί με τὰς θυρίδας, δι' ὃ ἀπώλετό μοι ἡ δουλεία. καὶ εἰ μὲν ἐμοῦ ἔχοντος κεκλεισμένας τὰς θυρίδας, οὐδὲν ἐποίησας καινότερον τῷ οἴκῳ σου, τουτέστιν οὐκ ἀνύψωσας τὸν οἰκόν σου, ἀκέραιός μοί ἐστιν ἡ δουλεία καὶ τελεία
c. 59 B ὡς ‖ πρότερον· καὶ ἐὰν ἀνοίξω τὰς θυρίδας μετὰ ι' ἢ κ' χρόνους, καὶ σὺ θελήσῃς ἀνυψῶσαι τὸν οἰκόν σου, δύναμαί σε κωλύειν διὰ τὸ δίκαιον τὸ ὑπάρχον μοι [3].

(a) *Cod.* οἰκεία; (b) καὶ] *Parola supplita.* (c) *Cod.* ἔ‖ἔφραξα

lumen mihi immittebatur per fenestras in domo mea extantes, et ego fenestras meas praefixero easve obstruxero per .x. vel .xx. annos, h. e. eas obturavero, et huiusmodi status per dictos annos permanserit, tunc perit ius servitutis, si tu domum tuam altius struxeris, eaque altius extructa per .x. aut .xx. annos remanserit. Ecce enim interea neque ego servitute usus sum, cum fenestras obturatas vel praefixas habuerim, et tu recte tibi libertatem comparasti et acquisivisti domum altius tollendi, quam altius tollere non potueras antequam ego fenestras praefigerem; ideoque mihi servitus perit. Quodsi autem, me fenestras obturatas habente, nihil novi in domo tua fecisti, h. e. altius eam non sustulisti, salva mihi et integra, prout antea, servitus est. Et si post .x. aut .xx. annos fenestras aperiam et tu domum tuam altius tollere velis, possum te iure mihi competente prohibere.

(1) *Proch. Bas.* XXXVIII, 31: « ... ἐγὼ « δὲ ἐπωφελούμενος τὴν δουλείαν » &c.
(2) Loc. cit: « ... εἰς ὕψος ἀρθεῖσα « χρόνον δεκαετῆ ἢ εἰκοσαετῆ » &c.
(3) Loc. cit.: « ... διὰ τὸ πρόσον « μοι δίκαιον ».

31. Ἐὰν ἔχω δουλείαν, ὥστε δυνατὸν ἔχειν με τὰς ἐμὰς δοκούς, τουτέστι τὰ ἐμὰ ματαίρια, ἐπιβαλεῖν καὶ ἐπιβαρύνειν τὸν σὸν τοῖχον, εἶτα ἀπεθέμην [a] τὸν σὸν τρυπήσας τοῖχον, εἰ τάχα ἀφειλόμην τὰς ἐμὰς δοκούς, καὶ μετὰ ταῦτα δεκαετίαν [b] ἔμεινα μὴ ἀποτιθέμενος ἐν ταῖς γενομέναις ὀπαῖς, τουτέστι τρύπαις, τὰς ἐμὰς δοκούς, εἰ μὲν ἔμειναν αἱ [c] ὀπαὶ οὕτως ἀνεῳγμέναι, ὥσπερ καὶ ἦσαν ὅτε ἐλάμβανον τὰς δοκούς, οὐδείς [d] σοι χρόνος ἐπικτήσῃ τὴν ἐλευθερίαν. εἰ δὲ [e] καὶ ἐμοῦ τὰς ἐμὰς δοκοὺς ἀφελομένου, σὺ τὰς τρύπας ἔφραξας, καὶ ι' ἢ κ' ἔτη παρῆλθον, προ‖εγένετό σοι ἐλευθερία· διὰ τῆς χρήσεως γὰρ ἔλαβες [f] τὴν c. 59 c
δεσποτείαν ταύτην, ἐπὶ τοσοῦτον χρόνον ἀνοικοδομηθείσας ἔχων [g] τὰς ὀπάς. εἰ δὲ μηδὲν ποιήσας καινότερον εἴασας [h] ταῦτα ἐπὶ σχήματος [i], σώζεταί μοι διὰ παντὸς τὸ δίκαιον τῆς δουλείας καὶ δύναμαι τὰς δοκοὺς ἐπιθέσθαι εἰς τὰς προγεναμένας τρύπας [1].

(a) *Cod.* εἴτε ἀπὸ ϑέμην (b) *Cod.* δεκατίαν (c) αἱ *manca nel Cod.* (d) οὐδὲ? *Cod.* εἰ δὲ εἰς (e) εἰ δὲ] *Parole mancanti nel Cod.* (f) *Cod.* ἔλαβε (g) *Cod.* εἶχον (h) *Cod.* ἔασα (i) *Cod.* σκήματος, *con* ι *sovrapposta ad* ή

31. Si servitutem habeam, ut mihi liceat trabes meas, h. e. ἐμὰ ματαίρια, imponere et murum tuum gravare, ac murum tuum perforans imposuero, postmodum vero trabes extraxero neque per decennium trabes ipsas in factis foraminibus, h. e. τρύπαις, reposuero, si quidem foramina ita aperta manserint, ut erant cum trabes recipiebant, nullum tibi tempus libertatem acquiret. (Sed si) postquam ego trabes meas extraxissem, tu foramina obturaveris, et .x. vel .xx. anni praeterierint, tibi libertas erit acquisita; usucapione enim dominium hoc acquisisti, cum tanto tempore foramina obturata habuisses. Quodsi nihil novi faciens, illa in suo statu relinques, ius servitutis omnino salvum habebo trabesque in ante factis foraminibus immittere potuero.

(1) *Proch. Bas.* XXXVIII, 32: « Ἐὰν « παραχωρηϑῇ μοι δουλεία, ὥστε ἐξεῖναί « μοι τὰς ἐμὰς δοκοὺς τοῖς σοῖς ἐπιτι- « ϑέναι οἴκοις καὶ τὸν σὸν βαρύνειν τοῖ- « χον, εἶτα ἀπεϑέμην τὸν σὸν τρυπήσας « τοῖχον ἐκεῖ τὰς ἐμὰς δοκούς, « ἀφειλόμην δὲ μετὰ ταῦτα ..., ἐπὶ το- « σοῦτον χρόνον ἀνοικοδομηϑείσας ἔχων « τὰς ὀπάς. εἰ δὲ ..., σώζεταί μοι διὰ « παντὸς τὸ τῆς δουλείας δίκαιον, καὶ « βουληϑέντι μοι τυχὸν μετὰ ι' « ἢ κ' ἔτη πάλιν ἀποϑέσϑαι τὰς « δοκοὺς κατὰ τὸν σὸν τοῖχον ἐν « ταῖς αὐταῖς ὀπαῖς οὐδὲν ἐναν- « τιωϑήσεται, διὰ τὸ μὴ κτήσα- « σϑαί σε ἐλευϑερίαν ἐκ τοῦ χρᾶ- « σϑαι ». Dopo il nostro tralascia i capitoli 33-37 del *Proch. Bas.*

τῆς λαβεῖν τὰ λιθάρια καὶ [a] τὰ ξύλα καὶ εἴ τι ἄλλο ἐποίησε τῷ ἀγρῷ ἄχρι τοῦ βάθους τοῦ ἀγροῦ. ἐὰν ὁ ἀληθὴς δεσπότης τοῦ δοθῆναι δοῦναι τῷ νεμομένῳ καὶ ἀγοράσαντι ἀγρὸν ὅσα μέλλει λαμβάνειν μετὰ τὸ καταλυθῆναι τὸ οἰκοδόμημα πιπράσκων τὰς ὕλας. καὶ οὕτω μὲν ὁ δικαστὴς μέλλει σκοπῆσαι τὰ πράσματα. τουτέστιν ἐὰν εὔπορά εἰσιν ἢ ἄπορα. ἤγουν ἐὰν πλούσια ὑπάρχωσιν ἢ πτωχά [1]. τὰς αἰτίας μέλλει σκοπῆσαι ὁ δικαστὴς οὕτως. ἐὰν ὁ ἀληθὴς δεσπότης τοῦ ἀγροῦ τυχὸν ἔχῃ πράσιμον αὐτὸν τὸν ἀγρόν. καὶ μὴ συγχωρηθῇ. βουλόμενος αὐτὸν πωλῆσαι. κἂν ἄπορός ἐστι. μόνην τὴν δικαίωσιν τῶν ὕλων παρέχειν [b] ὁ δικαστὴς αὐτῷ. καὶ καταδικάζεται εἰς εἴ τι γέγονεν ὁ ἀγρὸς καλλιόστερος [2].

35. Ἐὰν τις κακῇ πίστει πράγματα κατέχῃ καὶ ἐκποιήσῃ ταῦτα, τουτέστιν ἐκβάλλει ἀφ' ἑαυτοῦ, ἤτοι ἐὰν πωλήσῃ αὐτὰ ἢ δωρήσηται ἢ ἀλλάξει αὐτά [c], ἢ ἄλλως πως ἐκποιήσει, ὁ δὲ ἀληθὴς δεσπότης

(a) μέλλει ὁ κ. (p. 221) – λιθάρια καὶ in rasura. (b) Cod. παρέχει (c) Cod. αὐτῶν

si quid aliud in fundo fuerit recipiat, sine ullo fundi damno, nisi verus dominus paratus sit reddere ei, qui fundum possedit et acquisivit, quae fuisset accepturus post aedificii demolitionem, si materias vendidisset. Et hoc quidem modo iudex personas considerare debet, h. e. si locupletes vel pauperes sint, scilicet si πλούσια vel πτωχά sint. Causas autem ita iudex debet considerare: si verus dominus fundi forte fundum ipsum venalem habet, tunc ei, qui vendere volebat, licet pauper sit, a iudice non permittitur solam materiae aestimationem reddere, sed condemnatur in quantum fundus melior redditus.

35. Si quis mala fide res possideat easque alienet, h. e. a se distrahat, vel eas vendat vel donet vel permutet vel alio quocumque modo alienet, verus autem dominus haec cernens easque

(1) *Proch. Bas.* loc. cit.: « Εἰ δὲ τυχὸν πένης ὢν οὐκ ἐβούλετο ταῦτα ποιεῖν, ἀρκεῖ τῷ καλῇ πίστει νεμομένῳ τὸν ἀγρόν, ἄχρι βλάβης τοῦ ἀγροῦ, περιελεῖν πάντα ἃ ἐποίησεν, εἰ μὴ ὁ τοῦ ἀγροῦ δεσπότης ἑτοίμως ἔχῃ διδόναι τῷ νεμομένῳ, ὅσα μέλλει λαμβάνειν μετὰ τὸ καταλυθῆναι τὸ οἰκοδόμημα τὰς ὕλας πιπράσκων ». L'ultimo periodo, in cui il nostro ripete ciò ch'era già precedentemente detto, manca nel *Proch. Bas.*

(2) Loc. cit.: « ... τὰς δὲ αἰτίας οὕτω χρὴ σκοπεῖν » &c.

ὁ ἀρ ἐκ τοῦ ἡμῖν τοῦ τε
ποιῆσαι ὁ ἄλλη ἐξ ἀλλοτρί-
ας οἰκίας μέλλειν· ἡ δὲ οὐκέ-
τι μέλλει τυχὸν οὐ σοι δοῦ-
ναι τοῦτο ποιῆσαι·
οὐδὲ ὧν ἐξ ἀλλοτρίου τοῦ τε
μὴ μέλλω καὶ ἀρ ἐκ τοῦ
τοῦ ἄρα· ἀ σοι ἐκ τοῦ ἡμῶν

μόνον ἐν μὴ αὐτὸ κατὰ λυ-
θῆναι τὸ οἰκοδόμημα
τοῦ πωρόσκωνος τοῦ ὅλου·
καὶ οὕτω μὴ ὁ δὴ κατὰ τὸ
μέλλειν οἰκοδομεῖν τὸν ἐν
ἄλλοις πῶς οὐκ ποιήσῃ·
ὁ δὲ ἄλλη ἐξ ἀλλοτρίου
μέλλει τοῦ Καὶ μο

βλέπων ταῦτα καὶ νο||μίζων προσήκειν καὶ ἁρμόζειν (a) αὐτῷ, μὴ διαμαρτύρηται αὐτῷ κατὰ τοὺς νόμους τῷ ἀγοραστῇ ἢ τῷ δεχομένῳ τὴν δωρεάν, ἢ ἐκείνῳ εἰς ὃν οἱῳδήποτε τρόπῳ μετενεχθῇ καὶ μετακομισθῇ, ἄδειαν οὐκ ἐχέτω ταῦτα λαβεῖν, ἐὰν παρὼν ἐσιώπησε μέχρι δεκαετίας, ἢ μὴ παρὼν ἐσιώπησε (b) μέχρι εἰκοσαετίας (1). εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς δεσπότης τῶν πραγμάτων ὅτι (c) αὐτῷ προσαρμόζουσιν (d) καὶ ὅτι γέγονεν ἐκποίησις, ἤτοι ἐπωλήθησαν ἢ ἐχαρίσθησαν ἢ ἐνηλλάγησαν, κελεύομεν ἵνα ὁ ἀληθὴς δεσπότης τῶν πραγμάτων μὴ ἀποῤῥιφθῇ ἀπὸ τοῦ δικαίου τῆς ἀγωγῆς τῶν πραγμάτων τῇ δεκαετίᾳ ἢ τῇ εἰκοσαετίᾳ, εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυ||ναμένου λέγειν τοῦ νεμομένου τὰ πράγματα τούτῳ τῷ τρόπῳ· ὅτι καλῇ πίστει νέμομαι τὰ πράγματα, ἀφ' οὗ ἠγόρασεν αὐτὰ παρὰ τοῦ νεμηθέντος ταῦτα καὶ κατέχοντος κακῇ πίστει (2). περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας καὶ εἰκοσαε- c. 60 c c. 60 v

(a) *Cod.* ἁρμῶζειν (b) *Così il Cod.* (c) ὅτι *manca nel Cod.* (d) *Dopo questa parola il Cod. aggiunge* οὐ γινώσκει, *che è forse glossa ad* ἀγνοεῖ, *o supplemento alla proposizione seguente* καὶ ὅτι γέγονεν *&c.*

ad se spectare et pertinere existimans non interpellet secundum leges emtorem aut donatarium aut illum ad quem (res) quocumque modo tradita et delata est, potestatem eam recipiendi non habeat, si ibi praesens est usque ad decennium, vel si ibi praesens non est usque ad vicennium. Quod si verus rerum dominus eas ad se pertinere alienationemque factam esse, sive venditas sive donatas aut permutatas esse, ignoret, sancimus ut verus rerum dominus ab actione in res sibi iure competente non cadat per decennium vel vicennium, sed tantum per tricennii praescriptionem, cum is, qui hoc modo res possidet, dicere non potest: « bona fide res pos- « sideo », quia eas a malae fidei possessore et detentore emit. De

(1) *Proch. Bas.* XXXVIII, 41: « Εἴ « τις κακῇ πίστει πράγματα νεμόμενος ἢ « κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως « ταῦτα ἐκποιήσοι, ὁ δὲ νομίζων τὰ αὐτὰ « πράγματα προσήκειν αὐτῷ τοῦτο γινώ- « σκων ἐντὸς ι' ἐνιαυτῶν μεταξὺ « τῶν παρόντων καὶ κ' μεταξὺ « τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ « τοὺς νόμους τὸν ἀγοραστήν, ἤτοι τὸν τὴν « δωρεὰν δεχόμενον ἢ ἐκεῖνον, εἰς ὃν τὰ « πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ με- « τενεχθείη, τὸν τὰ τοιαῦτα πράγ- « ματα κομιζόμενον βεβαίως ταῦτα « ἔχειν μετὰ τὴν τῆς δεκαετίας « δηλονότι ἐπὶ τῶν παρόντων καὶ « τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόν- « των παραδρομήν ».

(2) Loc. cit.: « ... εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς

τίας καὶ τριακονταετίας ταῦτα διατυπῶσαι συνείδομεν καὶ ἐσκοπήσαμεν, ὥστε εἴ ποτέ τις ἀληθὴς δεσπότης τῶν πραγμάτων ἐν τῇ εἰρημένῃ χρονικῇ παραγραφῇ εἴη παρὼν ἐν τῷ τόπῳ ἐπί τινας χρόνους, ἐπί τινας δὲ εὑρεθῇ ὅτι οὐκ ἦν ἐν τῷ τόπῳ, ἄλλους τοσούτους χρόνους προστεθῆναι αὐτῷ, ὅσους οὐχ ὑπῆρχεν ἐν τῇ χρονικῇ παραγραφῇ (1).

c. 61 A 36. Ἐάν τις ἐνάγοι κατά τινος περὶ ἀκινήτου πράγματος, μὴ νεμηθέντος αὐτοῦ (a) τοῦ πράγματος ἀπὸ δικαίας αἰτίας, μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ παραγραφῇ, μὴ ἀπολέσας τὴν ἰδίαν ἀγωγήν, δικαίως ἀποκαθίσταται εἰς τὸ ἴδιον πρᾶγμα καὶ ἀναλαμβάνει αὐτό. οὔτε γὰρ χρόνος οὔτε συνήθεια βεβαιοῖ τὰ κακῶς κριθέντα ἢ τυπωθέντα (2).

(a) *Cod.* αὐτῶ

praescriptione autem decennii et vicennii et tricennii haec statuere praevidimus et prospeximus, ut, si quando aliquis verus rerum dominus in dicta temporali praescriptione aliquot quidem annos in loco praesens sit et aliquot vero in loco non esse inveniatur, totidem ei anni adiciantur, quot in temporali praescriptione absens fuit.

36. Si quis in alium de re immobili agat, quae non ex iusta possidetur causa, et nondum tricennii exceptione exclusus sit, cum suam actionem non amiserit, recte in rem propriam restituitur eamque recuperat. Neque enim tempus neque consuetudo quae male iudicata et statuta sunt confirmat.

« τῶν ἐκποιηθέντων πραγμάτων δεσπό-
« της, καὶ ὅτι τὰ πράγματα αὐτῷ προ-
« σήκει καὶ ὅτι γέγονεν ἐκποίησις, κε-
« λεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι,
« πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς
« τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ
« τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμο-
« μένου ὅτι αὐτὸς καλῇ πίστει νέμεται,
« ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέν-
« τος ταῦτα ἐκομίσατο ».

(1) Cf. *Proch. Bas.* loc. cit.: solamente il nostro estende anche alle prescrizioni di venti e di trenta anni ciò che qui è detto per quella di dieci.

(2) *Proch. Bas.* XXXVIII, 42: « Ὁ
« ἐνάγων τινὶ περὶ ἀκινήτου πράγματος
« μὴ ἀπὸ δικαίας αἰτίας νεμηθέντος, καὶ
« μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ
« μηδὲ ἀπολέσας τὴν ἰδίαν ἐναγωγήν, εἰς
« τὸ ἴδιον δικαιον ἀποκαθίσταται ». Il principio, che il nostro aggiunge in fine, è una di quelle massime che si trovano in tutte le collettanee: così nel cod. Parig. gr. 1384, c. 143 A: « τὰ κακῶς κριθέντα ἢ τυπωθέντα οὔτε
« νόμος οὔτε χρόνος οὔτε συνήθεια βεβαιοῖ ».

37. Δεσπόζονται τὰ κινητὰ πράγματα μέχρι τριετίας, ἐὰν κρατηθῶσιν ἀνεπιφωνήτως ἤτοι ἀδιαμαρτυρήτως (1).

38. Ἐάν τις ἔχῃ δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν τὰ θρέμματα αὐτοῦ ἐν τῷ σῷ (a) ἀγρῷ, δύναται κτᾶσθαι δουλείαν τοῦ ποιῆσαι καλύβην ἐν αὐτῷ τῷ ἀγρῷ σου (2).

39. Ἐάν τις θελήσει (b) ἐνοικοδομῆσαι πλησίου ‖ ἀλλοτρίου ἀλωνίου, c. 61 B
καὶ ἐκ ταύτης τῆς οἰκοδομῆς βλάπτεται ὁ δεσπότης τοῦ ἀγροῦ, καλῶς κωλύεται τοῦ κτίσματος (3).

40. Ἐάν τις ἕλκῃ ὕδωρ διὰ ξένου ἀγροῦ, καὶ τοῦτο (c) βλέπει ὁ δεσπότης τοῦ ἀγροῦ καὶ σιωπήσει μέχρι τριετίας, οὐ δύναται κωλῦσαι αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ, ὑπεκτίσατο γὰρ τὴν δουλείαν τοῦ ἀγροῦ τῇ παραγραφῇ τῆς τριετίας. εἰ δὲ κωλύσει αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ πρὶν παρέλθοι ἡ τριετία, οὐ δύναται αὐτὸς ἀπαιτῆσαι ὅσα ἐξωδίασε (d) παρὰ (e) τὸν ὁλκὸν τοῦ ὕδατος, ἀλλ' ὁ δεσπότης τοῦ ἀγροῦ δεσπότης

(a) σῷ] *Parola supplita.* (b) *Così il Cod.* Ἐελήση? (c) *Cod.* τοῦτον (d) *Cod.* ἐξοδίασε (e) *Così il Cod.*

37. Mobiles res triennio acquiruntur, si absque interruptione vel interpellatione detineantur.

38. Si quis servitutem aquandi pecorisque sui in agro (tuo) pascendi habet, servitutem tugurii in ipso agro tuo faciendi acquirere potest.

39. Si quis prope alienam aream aedificare voluerit, et ex hoc aedificio dominus agri laedatur, recte aedificare prohibetur.

40. Si quis aquam per alterius fundum ducit idque fundi dominus scit et per triennium silet, eum fundi dominus prohibere non potest, servitutem enim in fundum triennii praescriptione acquisivit. Quod si eum dominus fundi ante triennium elapsum prohibuerit, non potest ipse impensas in aquaeductum factas repetere, sed dominus agri et ipsius aquaeductus dominus

(1) *Proch. Bas.* XXXVIII, 43: « Τὰ « κινητὰ πράγματα τῇ τριετίᾳ ἀνεπιφω- « νήτως κρατούμενα δεσπόζονται ».

(2) Cf. *Proch. Bas.* XXXVIII, 44.

(3) *Proch. Bas.* XXXVIII, 45: « Ὁ « βουλόμενος πλησίον ἀλλοτρίου ἀλωνίου « οἰκοδομεῖν, ἐν ᾧ καταβλάπτει τὸν τού- « του δεσπότην, κωλύεται ἐξ αὐτοῦ ».

γίνεται καὶ αὐτοῦ τοῦ ὁλκοῦ, ἄχρι ἐὰν μὴ καταλυθῇ ὁ ὁλκός· εἰ γὰρ καταλυθῇ, δύναται ὁ ποτὲ δεσπότης τὰς ὕλας ἐκδικεῖν καὶ ἀναλαβεῖν αὐτάς (1).

c. 61 c 41. Ἐὰν οὐ δυνηθῇ ἐκεῖνος, ὃς προέκτισε τὸν οἶκον (a), κωλῦσαι τὴν ὁδὸν τοῦ ὕδατος, οὔτε ὁ νῦν ἀγοραστὴς δύναται κωλῦσαι, καὶ γὰρ δοκεῖ ὅτι ἠγόρασε μετὰ τοῦ αὐτοῦ βάρους (2).

42. Οἱ χθαμαλώτεροι, ἤγουν οἱ κατώτεροι, τόποι τῶν ἀγρῶν χρεωστοῦσι σιωπηρὰν δουλείαν τοῖς ὑψηλοτέροις ἀγροῖς εἰς τὸ δέχεσθαι τὰ (b) ἴδια ὕδατα αὐτῶν, ἔχοντες κέρδος ἀντὶ τοῦ τοιούτου βάρους τοῦ ὑποδέχεσθαι τὴν ἅπασαν λιπαρότητα τῶν ὑψηλοτέρων γηδίων, ἤτοι χωραφίων (3).

43. Ἐὰν μὴ χρησάμενος τῇ δουλείᾳ τοῦ ἀγροῦ μου ἐπὶ ε' ἔτη πωλήσω αὐτὸν τὸν ἀγρὸν ἑτέρῳ, ταῦτα τὰ ε' ἔτη ψηφίζονται τῷ ἀγο-

(a) *Nel Cod. si aggiunge qui* οὐκ ἠδυνήθη (b) *Cod.* εἰς τὰ

fit, donec aquaeductus non dissolvatur; si enim dissolvitur, prior dominus materias vindicare et recipere potest.

41. Si ille, qui ante aedes possedit, aquae transitum prohibere non potuit, neque novus emtor prohibere potest; videtur enim cum huiusmodi onere emisse.

42. Inferiores, scil. οἱ κατώτεροι, agrorum loci tacitam servitutem superioribus agris ad aquas eorum recipiendas praestant; hoc lucrum pro illo onere habentes, quod omnem superiorum agrorum, scil. χωραφίων, pinguedinem recipiant.

43. Si per quinquennium fundi mei servitute non usus fundum ipsum alii vendidero, quinquennium istud emtori hoc modo

(1) *Proch. Bas.* XXXVIII, 46: « Ὁ « δι' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ εἰδότος « τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ' αὐ- « τοῦ τοῦ ἀγροῦ δουλείαν τῷ νενομισμένῳ « χρόνῳ τουτέστι τῷ τριετεῖ. ἐὰν δὲ πρὸ « τοῦ παρελθεῖν τοῦτον τὸν χρόνον κω- « λύσῃ αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ ἐπα- « νάγειν τὸ ὕδωρ, οὐ δύναται ἀπαιτεῖν « αὐτὸν τὰ περὶ τὸν ὁλκὸν γενόμενα αὐτῷ « δαπανήματα, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὁλ- « κοῦ δεσπότης γίνεται ὁ τοῦ ἐδάφους κύ- « ριος, ἕως ὅτε συνέστηκεν ὁ ὁλκός. Δια- « λυομένου γὰρ αὐτοῦ, δύναται καὶ τὰς « ὕλας ὁ πάλαι δεσπότης ἐκδικεῖν ».

(2) *Proch. Bas.* XXXVIII, 47: « Ἐὰν « ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλῦσαι τὴν « τοῦ ὕδατος πάροδον » &c. Si noti la spiegazione che dà il nostro del « προκτήτωρ ».

(3) Cf. *Proch. Bas.* XXXVIII, 48.

ραστῇ οὕτως, ὡς εἰ μὲν καὶ αὐτὸς ὁ ἀγοραστὴς μὴ χρήσηται τῇ δουλείᾳ τοῦ ἀγροῦ ἐπὶ ε' ἄλλους χρόνους, ἐκπέσοι αὐ||τῆς τῆς δουλείας. c. 61 D
εἰς (a) μὲν γὰρ τὸ κτήσασθαι τὴν ἐλευθερίαν παράλογον ἀπαιτούμεθα εἶναι τοῦτον τὸν νόμιμον καιρόν, εἰς (b) τὸ ἀπολέσαι διὰ τῆς ἀχρηστίας ἀρκούμεθα, ὅτι οὐκ ἐχρήσατο παρ' ὅλον τὸν καιρὸν τοῦ νόμου, τουτέστι τῆς δεκαετίας, καὶ οὔτε πολυπραγμονοῦμεν εἴτε εἷς εἴτε (c) πλείονές εἰσιν οἱ μὴ (d) χρησάμενοι (1).

44. Ἐάν τις ὀρύττῃ δημοσίαν ὁδόν, τουτέστι γῆν ἀλλοτρίου χωρίου οὐχ (e) ἁρμόζουσαν τῷ ἰδίῳ χωρίῳ, πεντήκοντα νομισμάτων παρέχει τὴν ποσότητα (2).

45. Ἐὰν δέ τις ὀρύττῃ ὅρον ἀλλοτρίου χωρίου (f) τὸν ὅρον αὐτοῦ

(a) *Cod.* εἰ (b) *Da supplire* δὲ? (c) εἷς εἴτε] *Parole supplite dal Proch. Bas.* (d) μὴ] *Parola supplita dal Proch. Bas.* (e) *Cod.* χορίου οὐκ (f) *Lacuna?*

imputatur, ut si et emtor ipse per aliud quinquennium fundi servitute non utatur, ex ipsa servitute cadit. Si enim ad libertatem acquirendam eamdem personam requirimus per totum legitimum tempus, ad amittendam per non usum sufficit, non uti per totum legitimum tempus, h. e. decennium, neque inquirimus utrum (unus an) plures (non) fuerint usi.

44. Si quis publicam viam, h. e. terram alieni fundi ad fundum suum non spectantem, fodiat, .L. solidorum quantitatem praestet.

45. Si quis ad fundi alieni limitem fodiat, * * limitem eius

(1) *Proch. Bas.* XXXVIII, 49: «...εἰς «μὲν γὰρ τὸ κτήσασθαι τὴν ἐλευθερίαν «τῆς δουλείας τὸν αὐτὸν ἀπαι«τοῦμεν εἶναι παρ' ὅλον τὸν νόμιμον «καιρόν, εἰς δὲ τὸ ἀπολέσαι διὰ τῆς «ἀχρηστίας ἀρκούμεθα τὸ μηδὲ χρήσα«σθαι καὶ μόνον παρ' ὅλον τὸν τοῦ νό«μου καιρόν· καὶ οὐ περιεργαζόμεθα εἴτε «εἷς εἴτε πλείους εἰσὶν οἱ μὴ χρησάμενοι». 49 e nell'*Ecl. ad Proch. mut.* XXXIV, 31: i cambiamenti introdotti dal nostro si debbono riferire ad una consuetudine locale, la quale probabilmente s'inspirò ai principî del diritto longobardo; cf. *Roth.* 236 e *Liutpr.* 150, e vedi la versione greca del primo in ZACHARIAE, *Fragm. vers. gr. leg. Roth.* p. 72: «Ἐάν τις ἄνθρωπος ἐλεύθερος «ὅριον ἀρχαῖον καταλύσῃ καὶ ἀποδο«κιμασθῇ, ζημιούσθω νομίσματα π', «ἥμισυ τῷ βασιλεῖ καὶ ἥμισυ οὗτινος τὸ «ὅριον». Cf. però *Digesti* XLVII, 21, 3 pr.

(2) *Proch. Bas.* XXXVIII, 50: «Ἐάν «τις δημοσίαν ὁδὸν ἤτοι γῆν παρ' ἀλλο«τρίου χωρίου ὀρύττῃ, τὸν ὅρον μὴ πα«ραβαίνῃ». Allo stesso modo questo capitolo è riferito nell'*Epanag.* XXXIX,

πόδας η' · εἰ δὲ τειχίον, ἀπολείπει πόδα ἕνα · ἐὰν δὲ οἴκημα, πόδας ἕξ· ἐὰν δὲ τάφον ἢ βόθρον ὀρύγῃ, τοσοῦτον ἀπολείπῃ τοῦ ὄρου, ὅσον ὁ τάφος ἢ βόθρος · ἐὰν δὲ φρέαρ, ὀργυιάν, εἰ μήπω φρέαρ προϋπάρχῃ τοῦ γείτονος καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτεται. ἐλαίαν δὲ καὶ συκῆν (a) φυτεύων (b), ἀπολείπῃ πόδας θ' ἀπὸ τοῦ ἀλλοτρίου χωρίου, τὰ δὲ ἄλλα δένδρα πόδας πέντε (1).

c. 62 A 46. Ἐὰν ἔχω ὑδραγώγιον (c) πλησίον τοῦ ἀγροῦ σου, καὶ παρέρχεται (d) σωπηρῶς τῇ τοιαύτῃ δουλείᾳ ταῦτα (e) · μέλλω (f) δὲ τοῦ ἀνανεῶσαι τὸ ῥεῖθρον, μέλλεις μοι σὺ καταλιμπάνειν διάστημα (g) διὰ τὸ ἐξελθεῖν με καὶ εἰσελθεῖν μετὰ τῶν (h) τεχνιτῶν μου, ὡς ἂν δυνηθῶ πορεύεσθαι ἐκ δεξιοῦ καὶ ἀριστεροῦ ἐπὶ τὸ ῥεῖθρον τοῦ ὑδραγωγίου μου, καὶ ἵνα ἀποτιθῶμαι γῆν καὶ λίθους καὶ τὴν ὕλην τὴν ἀπὸ τοῦ ὁλκοῦ ἀναφερομένην, καὶ ἀσβέστην καὶ ψάμμον πρὸς ἀνανέωσιν τοῦ ὑδραγωγίου (2).

(a) ὀργυιάν - συκῆν] *Parole supplite dal Proch. Bas.* (b) *Manca questa parola nel Cod.* (c) *Cod.* ὑδραγώγηον (d) *Così il Cod.* (e) ταῦτα] *Parola supplita dal Proch. Bas.* (f) *Cod.* μέλλο (g) *Cod.* διάστιμα (h) *Cod.* τὸν

pedum .VIII. (?); si quidem murum, unum pedem relinquat; si domum, pedes sex; si sepulcrum, vel foveam excavet, tantum limitis relinquat, quantum sepulcrum est vel fovea; si puteum, (passus latitudinem, si necdum puteus vicino fuerit isque per novum opus laedatur. Oleam vero et ficum plantans), pedes .IX. ab alieno fundo relinquat; caeteras arbores, pedes quinque.

46. Si aquaeductum prope fundum tuum habeam, tacite huiusmodi servitutem (haec) sequuntur, (ut, si) rivum renovare velim, tu mihi spatium relinquere debeas, quo mihi cum fabris meis adire et exire liceat, et dextra sinistraque ad aquaeductus mei rivum accedere possim, atque terram ac lapides nec non materiam ex rivo haustam et calcem et arenam ad aquaeductum renovandum reponam.

(1) *Proch. Bas.* XXXVIII, 51 (corrispondente all'*Epanag.* XXXIX, 50, corrispondente all'*Ecl. ad Proch. mut.* XXIV, 31): « Ἐὰν τειχίον, πόδα ἕνα « ἀπολείπῃ » &c. Le prime parole aggiunte dal nostro paiono riferirsi alla modificazione introdotta nel capitolo precedente. Cf. *Digesti* VIII, 1, 13.

(2) *Proch. Bas.* XXXVIII, 52: « Ἐὰν « πλησίον τ. ἀγροῦ σου ὑδραγώγιον ἔχω, « παρέπεται [Bodlej. 3399: παρέχεται]

47. Ἐὰν δὲ πωλήσω σοι μέρος τοῦ ἀγροῦ μου, καὶ συμφωνήσω σοι ἵνα ἕλκοις ὕδωρ δι' αὐτοῦ, καὶ παρέλθοι ὁ νόμιμος χρόνος μήπω ποιήσαντός μου (a) τὸν ὀχετόν, σώζεταί μοι τὸ δίκαιον· εἰ δὲ ἐποίησα μέν (b), οὐκ ἐχρησάμην δὲ αὐτῷ μέχρι τοῦ νομίμου χρόνου, τουτέστι τῆς δεκαετίας, φθείρεταί ‖ μοι τὸ δίκαιον τῆς δουλείας (1). c. 62 B

48. Ἐὰν οὕτως συστῇ καὶ τυπωθῇ (c) ἡ δουλεία τοῦ ὕδατος, ὥστε ἐν μόνῳ τῷ καιρῷ τοῦ θέρους χρήσασθαι ἐν αὐτῇ τῇ δουλείᾳ, ἢ ἐν (d) ἑνὶ μηνί, ἢ ὑπὲρ χρόνου ἑνός, ἢ ἑνὸς μηνός, διπλασιάζεται ὁ καιρός, διότι (e) οὐκ ἐχρήσατο αὐτῇ τῇ δουλείᾳ κατὰ τὸ σύμφωνον· τὸ αὐτὸ δεῖ νοῆσαι καὶ ἐπὶ τῆς ὁδοῦ. εἰ δὲ ὑπὲρ ἡμέραν, ἢ μόνην τὴν ἡμέραν ἢ μόνην τὴν νύκτα, φθείρεται ἡ δουλεία τῷ νομίμῳ χρόνῳ· μία γὰρ ὑπάρχει ἡ δουλεία (2).

49. Ἡ τοῦ μακροῦ χρόνου παραγραφή, τουτέστι τῶν ι' καὶ κ' χρόνων παραδρομή, οὐκ ἀντίκειται τῷ δικαστηρίῳ τῷ περὶ ὅρων καὶ

(a) μου *manca nel Cod.* (b) σώζεταί μοι – μέν] *Mancano queste parole nel Cod.* (c) *Cod.* τυποϑῇ (d) ἢ ἐν] *Parole supplite.* (e) διότι] *Così il Cod.; forse* δι' ὅν τις ?

47. Si tibi fundi mei partem vendo, et tecum de aqua per eam partem ducenda paciscor, et legitimum elabitur tempus, antequam rivum faciam, (ius mihi salvum est; quod si fecerim) neque tamen eo intra legitimum tempus, h. e. decennium, usus fuerim, servitutis ius mihi perit.

48. Si servitus aquae ita constituta ac praefinita sit, ut in solo aestatis tempore quis ea servitute utatur, vel uno mense, aut alternis annis vel mensibus, duplicatur tempus, quo quis ea servitute iuxta pactum non est usus; idemque et de via intelligendum est. Quod si alternis diebus, aut sola die vel sola nocte, legitimo tempore servitus perit; una enim servitus est.

49. Longi temporis praescriptio, h. e. .x. et .xx. annorum cursus, non obstat iudicio finium regundorum, sed sola .xxx. an-

« σιωπηρῶς τῇ τοιαύτῃ δουλείᾳ ταῦτα· « ἀνανεοῦν τὸ ῥεῖϑρον, καὶ τὸ ἐξεῖναι « εἰσιέναι ἐμέ τε καὶ τοὺς ἐμοὺς τεχνίτας « ἐπὶ ἀνανεώσει τοῦ ὀλκοῦ. χρεωστεῖς « δέ μοι καὶ διάστημά τι καταλιμπάνειν, « ὡς ἂν δι' αὐτοῦ ἐκ δεξιοῦ καὶ ἐξ ἀρι- « στεροῦ πορεύεσϑαί με ἐπὶ τὸ ῥεῖϑρον, « καὶ ἵνα ἐν αὐτῷ ἀποτίϑημι » &c.

(1) *Proch. Bas.* XXXVIII, 53: « Ἐὰν « πιπράσκων ἀγροῦ μέρος συμφωνήσω δι' « αὐτοῦ ἕλκειν ὕδωρ » &c.

(2) *Proch. Bas.* XXXVIII, 54: « Ἡ « δουλεία τ. ὕδατος ἐὰν οὕτως συστῇ, ὥστε « ἐν μόνῳ τῷ ϑέρει κεχρῆσϑαι αὐτῇ » &c.

δροθεσίων, ἀλλὰ μόνη ἡ παραγραφὴ τῶν λ' ἐνιαυτῶν ἔχει χώραν [a], καὶ δικαίως φθείρεται τῇ παραγραφῇ ταύτῃ [1].

50. Δεῖ τὸν δικαστὴν ἐν ταῖς ζητήσεσι ταῖς οὔσαις περὶ [b] τῶν
c. 62 c ὅρων, ἢ ἐν τοῖς ὑπομνήμασιν ἀκολουθεῖν, ‖ ἢ ἐν τῇ δημοσίᾳ ἀπογραφῇ τῇ συστάσῃ [c] πρὸ τῆς κατάρξεως τῆς ἀγωγῆς· εἰ μὴ ἄρα ἀποδειχθῇ, ὅτι οἱ ὅροι ἠλλάχθησαν τῷ νεμομένῳ [d] κατὰ καιρόν· τότε γάρ, εἰ οὕτως ἐγένετο, δεῖ προσέχειν τοῖς ὁρισθεῖσι παρὰ τῶν κτισάντων τούτους τοὺς ὅρους, καὶ οὐχὶ τοῖς παλαιοτέροις [2].

51. Ὁπόταν ἀπόλλυται δημοσία ὁδὸς ἢ ἀπὸ συμβεβηκότος σεισμοῦ ἢ ἀπὸ ποταμοῦ τοῦ καταλύσαντος [e] αὐτήν, ἀναγκάζεται ὁ πλησιάζων δεσπότης τοῦ ἀγροῦ παρέχειν τὴν δημοσίαν [f] ὁδὸν τοῦ διαβαίνειν τὸν λαὸν διὰ τῶν ἰδίων τόπων [3].

52. Ἐὰν ῥέῃ ποταμὸς μέσον τοῦ ἐμοῦ ἀγροῦ καὶ τοῦ σοῦ, ὕστερον δὲ προσθήσει τῇ ἐμῇ γῇ ἄλλην γῆν κατὰ βραχὺ καὶ ἀνοήτως, ὡς μὴ

(a) *Cod.* χρόνον (b) *Cod.* παρὰ (c) *Cod.* συστάσϊ (d) τῶνεμομένω *il Cod. Il confronto col Proch. Bas. suggerirebbe di supplire e correggere* τῇ κρίσει τῶν νεμομένων (e) κατακλύσαντος? (f) *Cod.* διμοσίαν

norum praescriptio locum habet, et recte hac praescriptione extinguitur (iud. fin. reg.).

50. Oportet iudicem in quaestionibus finalibus vel monumenta sequi vel publicum censum ante litem inceptam factum; nisi forte probetur fines (arbitrio) temporalium possessorum mutatos esse; tunc enim, si ita factum est, his finibus a possessoribus determinatis et non vetustioribus inhaerendum est.

51. Si via publica vel terrae motu vel fluminis inundatione perit, cogitur vicinus dominus agri publicam viam per loca sua praestare, qua populus transire possit.

52. Si amnis inter meum agrum et tuum fluat ac deinde terrae meae alienam terram paulatim ac latenter adiecerit, ita ut

(1) *Proch. Bas.* XXXVIII, 55: « Τῷ « περὶ ὅρων καὶ ὁροθεσίων δικαστηρίῳ ἡ « τ. μ. χρόνου παραγραφὴ οὐκ ἀντίκειται, « ἀλλὰ μόνον ἡ τῶν λ' ἐτῶν παραγραφὴ « χώραν ἔχει ».

(2) *Proch. Bas.* XXXVIII, 56: « ... εἰ « μὴ ἄρα τῇ ποικίλῃ τῶν κτητόρων διαδοχῇ καὶ τῇ κρίσει τῶν « κατὰ καιρὸν νεμομένων ἀλλαγέντες οἱ « ὅροι ἀποδειχθῶσιν· τότε γὰρ τούτοις « τοῖς ὅροις προσεκτέον τοῖς ἀπὸ κτητόρων « ὁρισθεῖσι καὶ οὐχὶ τοῖς παλαιοτέροις ».

(3) *Proch. Bas.* XXXVIII, 57: « Ἡνίκα « δημοσία ὁδὸς ἢ σεισμοῦ συμβεβηκότος ἢ

δύνασθαί τινα νοῆσαι πόσον καὶ ἐν ποίῳ χρόνῳ (a) τοῦτο ἐγένετο, ἡ προστεθεῖσα γῆ τῆς ἐμῆς δεσποτείας ἐστὶ καὶ ἐμὴ γίνεται. ‖ εἰ δὲ τῇ c. 62 D
βίᾳ τοῦ ποταμοῦ καὶ ὁρμῇ ἀφῃρέθη μέρος τοῦ σοῦ ἀγροῦ καὶ προσετέθη τῷ ἐμῷ ἀγρῷ, δῆλον (b) ὅτι τὸ προστεθὲν τῆς σῆς μένει δεσποτείας, οὐδὲ γὰρ κατὰ βραχὺ καὶ ἀγνώστως τοῦτο ἐγένετο (1).

53. Πᾶσα ἀγωγή, ἥτις ἁρμόζει σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ ὑπάρχει εἴτε ὑποθηκαρία, οὐχ ὑπερβαίνει τὰ μ' ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ τῶν εὐαγῶν οἴκων προσκαίρων παραγραφῶν φυλαττουσῶν ὅμως τοὺς οἰκείους χρόνους (2). προσωπικὴ δὲ λέγει, ὅταν ἐκεῖνος αὐτὸς ὁ νεμόμενος τὸν ἀγρὸν τοῦ σεπτοῦ οἴκου † ἐπίσεν (c) αὐτὸν καὶ δυνηθῇ παραγράφεσθαι αὐτὸν τῇ παραγραφῇ τῶν μ' ἐτῶν. ὑποθηκαρία δὲ λέγει, ὅταν ὑποθήκην τις ἔδωκε καὶ παρέδραμεν ἡ τεσσαρακονταετία, μὴ ζητήσας ταύτην οὔτε ἐκείνῳ ἐν ᾧ δέδωκεν, οὔτε τῷ ‖ υἱῷ αὐτοῦ, οὔτε τῷ c. 63 A
ἐγγόνῳ αὐτοῦ.

(a) τινα νοῆσαι - χρόνῳ] *Ho supplito queste parole dal Proch. Bas.* (b) *Cod.* δῖλον (c) ἐπίσεν] *Così il Cod.* ἐπώλησεν *?*

(nemo intelligere possit quantum et quo tempore) id factum sit, adiecta terra mei dominii est et mea fit. Quod si vi ac impetu fluminis pars agri tui detracta et agro meo adiecta est, manifestum est, id, quod appulsum est, in tuo manere dominio; hoc enim non paulatim et inscienter evenit.

53. Omnis actio, quae venerandae domui competit, sive personalis sit sive hypothecaria, .XL. annos non excedit; ita tamen, ut temporales exceptiones cuique ex venerandis domibus competentes propria tempora servent. Personalis dicitur, cum is, qui agrum venerabilis domus possidebat, eum vendidit eumque .XL. annorum praescriptione defendere possit. Hypotecaria autem dicitur, cum hypothecam quis dedit et .XL. anni transierunt, neque eam requisivit ab eo, cui dedit, neque ab illius filio vel nepote.

« ἐπικλύσαντος αὐτὴν ποταμοῦ ἀπώλη-
« ται, ὁ πλησιάζων δεσπότης ἀναγκάζε-
« ται παρέχειν τὴν δημοσίαν ὁδὸν διὰ τῶν
« ἰδίων τόπων ».

(1) Cf. *Proch. Bas.* XXXVIII, 58. Il nostro tralascia il capitolo 59.

(2) *Proch. Bas.* XXXVIII, 60: « Πᾶσα « ἀγωγὴ προσήκουσα » &c. Le spiegazioni seguenti sono aggiunte del nostro e non hanno riscontro nei fonti.

54. Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον [a], ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ εἰς τὴν ἀπώλειαν τῆς ἐργασίας· τουτέστιν ὅσον καιρὸν παρῆλθε καὶ οὐκ εἰργάσατο δουλείαν τινὰ καὶ ὠφέλειαν εἰς τὸν οἶκον αὐτοῦ οὐκ ἐποίησεν, ἐν τούτῳ γίνεται ἡ καταδίκη, καὶ οὐχὶ εἰς τὴν ἀμορφίαν. τὸ γὰρ ἐλεύθερον σῶμα οὐ δύναται ἐκτιμηθῆναι [1].

55. Οὐκ ἔδοξεν ἡμῖν ἀπρεπὲς εἶναι τοῦτο θεσπίσαι, ἵνα οἱ περιοριζόμενοι ἐπὶ ἐγκλήματι μὴ περιγράφωνται, κἂν ἐν τῷ ἰδίῳ οἴκῳ [b], χρόνῳ [2]· τουτέστιν οἱ προσταχθέντες μὴ ἐξελθεῖν ἀπὸ πόλεώς τινος δι' ἁμάρτημα [c] ἐγκληματικόν, τουτέστι μοιχείας ἢ κλεψίας ἢ συκοφαν-
c. 63 B τίας, οὐ μέλλουσι περιγράφεσθαι εἰς τὰ ἴδια | πράγματα, ἀρκεῖ γὰρ αὐτοῖς ἡ περιορία.

56. Ἀλλὰ μηδὲ συμψηφιζέσθω ὁ χρόνος τοῖς ἀπολιμπανομένοις διὰ δουλείαν βασιλικήν, ἐφ' ὅσον διάγουσι τῷ τόπῳ τῆς λειτουργείας [3], τουτέστι τῆς βασιλικῆς [d] δουλείας, μέχρις ὅτου ὑποστρέψωσιν.

(a) *Cod.* ἐλευθερ (b) οἴκῳ *manca nel Cod.* (c) *Cod.* ἁμάρτιμα (d) *Cod.* βασιλειχῆς

54. Si liberum corpus damno afficiatur, condemnatio fit in sumptus sanationis et operis amissionem; h. e. quantum tempus transivit, quo neque cui operae vacare neque domui suae utilitatem afferre potuit, in hoc condemnatio fit, et non in deformationem; corpus enim liberum aestimari non potest.

55. Non indecorum nobis visum est statuere, ne ii, qui ob crimen vel (domi) suae inclusi sunt, tempore circumscribantur: scilicet illi, quibus ob poenalem accusationem, nempe adulterii vel furti vel calumniae, praeceptum est ne ab urbe aliqua egrediantur, non debent in rebus suis circumscribi; ipsis enim relegatio sat est.

56. At neque iis, qui ob principis ministerium absunt, tempus computetur, quamdiu versantur in loco ministerii, h. e. regis servitii, donec redierint.

(1) *Proch. Bas.* XXXVIII, 61, che aggiunge ancora: « ὁ δὲ σῶμα δοῦλον βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ εἰς εἴ τι ἠλαττώθη ἡ διατίμησις αὐτοῦ ».

(2) Cf. *Proch. Bas.* XXXVIII, 62.

(3) Cf. *Proch. Bas.* XXXVIII, 63.

57. Ὁ κωφός, ὁ ἄλαλος, ὁ μαινόμενος, ὁ μωρὸς καὶ ὁ αἰχμάλωτος οὐ περιγράφονται τῷ χρόνῳ τῆς δεκαετίας ἢ εἰκοσαετίας. τότε γὰρ ὁ χρόνος ἄρχεται τρέχειν αὐτοῖς, ὅτε ὁ μὲν αἰχμάλωτος ἐπανέλθοι ἀπὸ τῆς αἰχμαλωσίας, οἱ δὲ ἀπαλλαγῶσιν ἀπὸ τοῦ πάθους (1).

58. Ἐὰν ἡ πηγή, ἀφ' ἧς ἕλκει τις (a) τὸ ὕδωρ, ξηρανθῇ ἐπί τινας χρόνους καὶ πάλιν ἐπανέλθῃ εἰς τὰς ἑαυτῆς φλέβας, καὶ πάλιν ἄρξηται φέρεσθαι τὸ ὕδωρ, ἀνανεοῦται καὶ ἀνακαινίζεται αὐτῷ ἡ δουλεία καὶ ἀποκαθίσταται ‖ αὐτῷ ὁ ἑλκυσμὸς τοῦ ὕδατος, καθὼς εἶχε τὸ πρότερον (2). c. 63 c

59. Ἐάν τις πωλήσῃ ξύλον ἔχον αἰτίαν καὶ μέμψιν τινά, εἰ μὲν οὐκ ἐγίνωσκε τὴν αἰτίαν, κατέχεται τῇ περὶ ἐκδικήσεως μόνῃ ἀγωγῇ ἐπὶ τὸ πλεῖον τῆς ἀξίας τιμῆς. εἰ δὲ ἐγίνωσκε τὴν αἰτίαν καὶ οὐκ εἶπε τὴν αἰτίαν ἀλλ' ἐσιώπησε, κἀντεῦθεν ἠπάτησε τὸν ἀγοραστήν, ὅσην ζημίαν ὑπέστη ὁ ἀγοραστὴς ἐκ ταύτης τῆς ἀγορᾶς, ἀναγκάζεται ὁ πράτης παρέχειν. κἂν γὰρ ὁ οἶκος κατέπεσεν ἐκ τῆς αἰτίας τοῦ ξύλου, εἰς τὴν ἀποτίμησιν τοῦ οἴκου ἐνέχεται ὁ πράτης τῷ ἀγοραστῇ (3).

(a) τις] *Parola supplita. Cf. cap. 15.*

57. Surdus, mutus, furiosus, demens et captivus decennii vel vicennii tempore non circumscribuntur. Tunc enim iis tempus currere incipit, cum captivus quidem captivitate, illi autem infirmitate liberati fuerint.

58. Si fons, unde (quis) aquam ducit, per aliquot annos exaruerit et postmodo ad suas venas redierit ac rursus aqua deferri coeperit, renovatur ac instauratur illi servitus et aquaeductus illi restituitur, prout antea habuit.

59. Si quis lignum vitiosum et corruptum vendiderit, si vitium quidem ignoraverit, tenetur dumtaxat in id, quod plus iusto pretio accepit. Sin autem vitium cognoscens non patefecerit sed reticuerit, ut emptorem deciperet, venditor praestare tenetur quantum damni ex hac emtione emtor passus est. Sive igitur aedes vitio tigni corruerunt, in aedium aestimationem venditor emtori tenetur.

(1) *Proch. Bas.* XXXVIII, 64: « Ὁ « κωφὸς ... οὐ περιγράφονται χρόνῳ, « τότε » &c.

(2) Ripete qui, più letteralmente, il cap. 16 del *Proch. Bas.* XXXVIII, già riferito avanti al cap. 15.

(3) *Epanag.* XXXIX, 33 (corrispondente all' *Ecl. ad Proch. mut.* XXIV, 38): « Ὁ ὑπ' αἰτίαν ὂν ξύλον πωλήσας, « εἰ μὲν ἠγνόει, κατέχεται » &c. Questo capitolo non ha riscontro nel *Proch. Bas.*

Τίτλος λδ.

Περὶ ποινῶν.

1. Ἐὰν παραδώσῃ πολεμίοις (a) Ῥωμαίους τις, ἢ διεγείρει (b) τοὺς ἐχθροὺς πρὸς τὸ κακοποιῆσαι τῇ πόλει ἐν ᾗ κατοικεῖ, ἢ τῷ στρατῷ ἐν
c. 63 D ᾧ ὑπάρχει, κεφαλικῇ τιμωρίᾳ ὑπόκειται (1).

2. Ἐάν τις ποιήσῃ φάρμακον ἐπὶ φόνῳ τινὸς ἀνθρώπου, ἢ ἐπέχει αὐτὸ ἢ πωλήσει, καταδικάζεται τῷ νόμῳ τῷ περιέχοντι περὶ ἀνδροφόνων, τουτέστι τῶν φονευτῶν (2).

(a) *Cod.* πολεμίους (b) διεγείρει] *Così il Cod.; forse* διεγείρῃ? *Ma cf. cap.* 2 (ἐπέχει – πωλήσει), *cap.* 4, *e altrove.*

Titulus XXXIV.

De poenis.

1. Si quis hostibus Romanos prodiderit, aut hostes invitaverit in damnum urbis, in qua habitat, aut exercitus, in quo militat, capitali poenae subiacet.

2. Si quis venenum paraverit ad hominem necandum, vel habuerit vel vendiderit, lege de sicariis, h. e. de homicidis, tenetur.

(1) *Proch. Bas.* XXXIX, 1: « Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ παραδιδοὺς πολεμίοις ῥωμαίους κεφαλικῶς κολάζεται ». Il nostro tralascia la prima frase ed aggiunge le parole « ἢ διεγείρει – ὑπάρχει », che non hanno riscontro nè qui nè nell'*Epanag.* XL, 1, nè altrove. O forse ciò, che nel nostro sembra un'addizione, non è che l'interpretazione da esso data alla prima frase del *Proch. Bas.*? Siffatta interpretazione, che non ha riscontro nei fonti romani (cf. una nota nello Zachariae, *Proch.* a questo luogo) potè forse venir suggerita al redattore del nostro *Prochiron* da *Rotari* 4, ch'è così tradotto nei *Fragmenta* del cod. Parigino 1384: « Ἐάν τις ἐχθροὺς ἐν τῇ χώρᾳ προσκαλέσῃ ἢ εἰσάξῃ, φουρκιζέσθω, καὶ ἡ ὑπόστασις αὐτοῦ πᾶσα ἐν τῷ βασιλικῷ πραιτωρίῳ κομιζέσθω ». Parmi trovi anche qui la sua spiegazione una frase di un'assisa normanna cod. Vat. XVIII, 4): « ... qui suscepit hospitio hostes regni et ductum prebuerit non ignarus », nel mio *Diritto romano nelle leggi normanne e sveve*, p. 105.

(2) *Proch. Bas.* XXXIX, 2: « Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται ὁ ποιήσας φάρμακον ἐπὶ ἀναιρέσει ἀνθρώπου ἢ ἐσχηκὼς ἢ πωλήσας ».

3. Χωρὶς φόβου φονεύεται ὅστις ἀποφεύγει πρὸς τοὺς πολεμίους (1).

4. Ἐάν τις εἰδὼς ἐλεύθερον τὸν ἄνθρωπον εἶναι καὶ ἀγοράσει ἢ πωλήσει αὐτὸν ἢ δανείσηται ἢ εἰς προῖκα δώσει (a) ἢ καταλλάξει, καὶ ἀποδειχθῇ ὅτι ἐποίησε μίαν τούτων τῶν αἰτιῶν, ὁ ταῦτα ποιήσας χειροκοπείσθω (2).

5. Οἱ λεγόμενοι νεωτερικοί, τουτέστι φιλόνεικοι, καὶ οἱ θορυβοῦντες τὸν λαόν, εἰ μὲν παραγγελθῶσι παρὰ τοῦ ἄρχοντος τοῦ ἀποστῆναι ἀπὸ τοῦ ματαίου βίου ἐκείνου καὶ οὐ θελήσουσιν, ἐξορίζονται ἐκείνης τῆς πόλεως· εἰ δὲ πολλοὺς ‖ θορύβους καὶ ἀταξίας ἐποίησαν, καὶ πολλάκις κρατηθέντες καὶ κολασθέντες ἔμειναν ἐπὶ τῆς αὐτῆς προπετείας καὶ ματαιότητος, τυπτόμενοι διηνεκῶς καὶ πάντοτε ἐξοριζέσθωσαν· εἰ δὲ οὐχ ὑπεμνήσθησαν καὶ οὐ παρηγγέλθησαν παρὰ τοῦ ἄρχοντος, ῥοπαλίζονται μόνον καὶ ἀπολύονται εἰς τὰς οἰκίας αὐτῶν (3). c. 64 A

(a) *Cod.* δόσει

3. Absque periculo interficitur quisquis ad hostes transfugit.

4. Si quis, sciens hominem liberum esse, eum emerit aut vendiderit aut donaverit vel in dotem dederit aut permutaverit, et unam harum rerum fecisse probetur, qui haec fecerit manum amittat.

5. Qui iuvenes appellantur, h. e. rixarum amici, et qui turbas in populo faciunt, si quidem a praeside admoniti sint, ut a vana illa vita desistant, et nolint, ab illa urbe expellantur: quod si multas turbas et petulantias commiserint, et saepius adprehensi atque puniti in eadem perduraverint temeritate ac vanitate, verberati continuo exulabunt. Si vero correcti et admoniti a praeside non fuerint, fustibus tantum caeduntur et ad suas domus dimittuntur.

(1) *Proch. Bas.* XXXIX, 3: « Τοὺς « ἐκ τῶν ῥωμαϊκῶν πρὸς τοὺς πο- « λεμίους ἀποφεύγοντας ὡς πολεμίους « ἔξεστιν ἀκινδύνως φονεύειν ».

(2) *Proch. Bas.* XXXIX, 5: « Ἐάν « τις ... ἀγοράσῃ ἢ πωλήσῃ αὐτὸν ἢ « δωρήσηται..., μιᾶς τούτων τῶν αἰ- « τιῶν ἀποδεικνυμένης, ὁ τοιοῦτος χειρο- « κοπείσθω ».

(3) *Proch. Bas.* XXXIX, 6: « Οἱ « λ. ν. καὶ θορύβους ἐν τῷ δήμῳ ποιοῦν- « τες, εἰ μὲν ὑπομνησθέντες παρὰ τοῦ « ἄρχοντος τοῖς αὐτοῖς ἐπιμείνοιεν, ἐξο- « ρίζονται » &c.

6. Ἐάν τις χρώμενος αὐθεντείᾳ [a] ἀποσπάσῃ [b] ἀπὸ τῆς ἐκκλησίας τὸν προσφεύγοντα ἐν αὐτῇ, δαιρόμενος καὶ κουρευόμενος ἐξοριζέσθω [1].

7. Ὁ κελεύσας τινὶ φονεῦσαι ἄλλον αὐτὸς ὡς φονεὺς κατακρίνεται [2].

8. Θεσπίζομεν [c] ἵνα μηδεὶς πωλήσῃ τοῖς βαρβάροις ὅπλα ἐργασμένα ἢ ἀνευθύαστα ἢ σίδηρον· εἰ [d] γὰρ τοῦτο ποιήσει τις, κεφαλικῶς τιμωρηθήσεται [e] [3].

9. Ὁ μελετήσας τοῦ φονεῦσαι τὸν βασιλέα, ἀπόλλυσι τὰ ἴδια πράγματα καὶ φονεύεται [4].

c. 64 b 10. Ἐάν τις φονεύσῃ τὸν λῃστήν, οὐ κατακριθήσεται [5].

11. Ὁ φονεύσας νήπιον ὑπόκειται τῇ τιμωρίᾳ [f] τοῦ φόνου, καὶ ὁ φονεύσας ἔλαττον αὐτῶν [g] κε ἐτῶν, κατακρίνεται ὡς φονεύς, οὐ γὰρ δύναται εἰπεῖν· ὡς ἐκδικῶν ἐμαυτὸν τοῦτο ἐποίησα [6].

(a) *Così il Cod.* (b) *Cod.* ἀποσπάσι (c) *Così, per correzione, da* Τεσπίζομεν (d) *Cod.* ἡ (e) *Cod.* τιμωριθήσεται (f) *Cod.* τῆμορία (g) *Così il Cod.*

6. Si quis auctoritate sua usus ab ecclesia extrahat illum qui ad eam confugit, verberatus ac tonsus relegetur.

7. Qui iubet aliquem interficere, veluti homicida ipse iudicatur.

8. Statuimus, ut nemo arma facta vel infecta aut ferrum barbaris vendat; si quis enim hoc fecerit, capite punietur.

9. Qui principem occidere meditatur, res suas amittit et occiditur.

10. Si quis latronem interfecerit, non damnabitur.

11. Qui infantem interimit, homicidii poenae subiacet; et minor .xxv. annis aliquem interficiens ut homicida damnatur: dicere enim non potest: « hoc feci ut me ipsum defenderem ».

(1) *Proch. Bas.* XXXIX, 7: « Ὁ τὸν « προσφεύγοντα εἰς τὴν ἁγιωτάτην ἐκ- « κλησιαν ἰδίᾳ χρώμενος αὐθεντίᾳ ἀπο- « σπάσας δερόμενος καὶ κουρευόμενος διη- « νεκῶς ἐξοριζέσθω ».

(2) *Proch. Bas.* XXXIX, 8: « Ὁ ἐν- « τειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κρί- « νεται ».

(3) *Proch. Bas.* XXXIX, 9: « Μηδεὶς « πιπρασκέτω βαρβάροις » &c. Si noti il « Θεσπίζομεν » aggiunto dal nostro.

(4) *Proch. Bas.* XXXIX, 10: « Ὁ « κατὰ τῆς σωτηρίας τοῦ βασιλέως με- « λετήσας, φονεύεται καὶ δημεύεται ».

(5) *Proch. Bas.* XXXIX, 11: « Τὸν « λῃστὴν ἔξεστιν ἑκάστῳ ἀκινδύνως φο- « νεύειν ».

(6) *Proch. Bas.* XXXIX, 12: « ... καὶ

12. Ὅστις γινώσκει τινὰ ἔχειν γοητείαν καὶ κρατεῖ αὐτὸν εἰς τὸ ἁμάρτημα, παραδιδότω αὐτὸν τῇ δημοσίᾳ κρίσει. εἰ δέ τις συλλαβόμενος τοῦτον μὴ παραδώσῃ αὐτὸν τῇ δημοσίᾳ ἀποφάσει, ὑπομενέτω ἐσχάτην τιμωρίαν (1).

13. Ἐάν τις ποιήσῃ (a) φᾶλσαν μονίταν, χειροκοπείσθω μετὰ τῶν δουλευτῶν αὐτοῦ. ὁ δὲ διοικητὴς τοῦ ἀγροῦ, ἐν ᾧ ἐγένετο ἡ πλαστὴ μονίτα, εἴτε γεωργὸς εἴτε δοῦλος εἴτε ἔνοικος εἴτε ἐργαστικὸς (b) φανῇ (c) ὡς ὑπηρετήσας || καὶ δουλεύσας τῷ ἁμαρτήματι, καὶ αὐτὸς χειροκοπείσθω (2). c. 64 c

14. Ὁ συκοφάντης, μὴ δυνάμενος ἀποδεῖξαι ἀληθῆ τὰ λεγόμενα, ὑπόκειται τῇ ταυτοπαθείᾳ, ἤγουν οὕτως κατακριθήσεται, ὡς ἔμελλεν ἐκεῖνον κατακριθῆναι, ὃν ἐσυκοφάντει (3).

15. Οἱ ἐπίσημοι καὶ ἐξάκουστοι λῃσταὶ ἐν τοῖς τόποις φουρκιζέ-

(a) *Cod.* ποιήσεϊ (b) *Cod.* ἐργαστικῶς (c) *Forse* ἐὰν φανῇ?

12. Quicumque cognoscit aliquem maleficiorum labe pollutum eumque in peccato deprehendit, eum publico iudicio tradat. Quod si quis illum adprehendens publicae sententiae non tradiderit, ultimum subeat supplicium.

13. Si quis falsam monetam fecerit, una cum suis administris manum amittat: fundi autem administrator, ubi falsa moneta facta est, sive colonus sive servus sive inquilinus sive operarius, (si) apparuerit delicto ministerium ac operas praebuisse, et ipse manum amittat.

14. Calumniator, qui ab se dicta vera probare nequit, talioni subiacet, idest ita punietur, prout illum, quem calumniatus est, puniri cupiebat.

15. Famosi et celebres latrones in furcam agantur in locis,

« ὁ ἔλαττων τῶν κε ἐτῶν φονεύσας ἐνά- « γεται ὡς φονεύς ». Si noti l'addizione del nostro, che vorrebbe dar la ragione, per la quale il minore è tenuto a rispondere dell'omicidio!

(1) *Proch. Bas.* XXXIX, 13: « Ὁ « συνειδὼς τινι γοητείαν κατασχὼν αὐτὸν « τῇ δημοσίᾳ ὀψει παραδιδότω » &c.

(2) *Proch. Bas.* XXXIX, 14: « Ὁ « πλαστὴν μονίταν ποιῶν μετὰ τῶν ὑπουρ- « γησάντων αὐτῷ χειροκοπείσθωσαν. ὁ « δὲ τοῦ ἀγροῦ διοικητὴς » &c.

(3) *Proch. Bas.* XXXIX, 15: « Ὁ συ- « κοφάντης τῇ ταυτοπαθείᾳ ὑπόκειται ». Il nostro spiega le voci « συκοφάντης » e « ταυτοπαθείᾳ ».

σθωσαν, ἐν οἷς ἐπλημμέλησαν καὶ τὸ κακὸν ἐποίησαν. οὕτω γὰρ χρὴ ἵνα διὰ τῆς θέας καὶ μόνης φοβηθήσονται καὶ οἱ ἕτεροι οἱ θέλοντες τοιαῦτα ποιῆσαι, καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τῶν φονευθέντων (1).

16. Οἱ πρὸς τοὺς πολεμίους ἑκουσίως ἀπερχόμενοι καὶ ἀποσκε-
c. 64 D πάζοντες τὰς ἡμετέρας βουλὰς ἀναρτῶνται εἰς φοῦρκαν ἢ καίονται (2).

17. Ἐάν τις εἰδὼς καὶ γινώσκων οἰκήματα ἐμπρήσῃ (a) αὐτά, ἢ σωρὸν σίτου κείμενον πλησίον οἰκήματος, εἰ μὲν ἐλεγχθῇ (b) ὡς πεποιηκώς, πυρὶ παραδίδοται· εἰ δὲ ποιήσει τοῦτο τὸ ἔργον ἔξω τῆς πόλεως, χειροκοπείσθω (3).

18. Οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες, τῶν ἡμετέρων ὑπάρχοντες, ξίφει τιμωρείσθωσαν (4).

19. Κεκώλυται τὸ μαντεύεσθαι διὰ θυσιῶν, ἤγουν τοῦ ἀπελθεῖν εἰς τοὺς δαίμονας καὶ θῦσαι αὐτοῖς καὶ ζητῆσαι παρ' αὐτῶν μαντείας λαβεῖν· ὁ οὖν τοῦτο ποιήσας ξίφει τιμωρείσθω (5).

(a) *Cod.* ἐμπρίσι (b) *Cod.* ἐλεχϑῇ

in quibus deliquerunt et scelus patravere; idque iuvat, ut et solo conspectu deterreantur alii, qui eadem moliuntur, et interfectorum cognatis solatio sit.

16. Qui ad hostes voluntarie transeunt et consilia nostra patefaciunt, in furcam suspenduntur aut comburuntur.

17. Si quis aedificia videns et sciens incenderit aut acervum frumenti iuxta aedificium iacens, et tamquam auctor fuerit convictus, igni tradatur; si hoc autem scelus extra urbem fecerit, manum perdat.

18. Hostes et qui ad eos transfugiunt, nostrorum scilicet, gladio feriantur.

19. Vetitum est divinare per sacrificia, scilicet ad daemonas accedere iisque sacrificare et divinationes ab iis quaerere; qui igitur hoc fecerit, gladio feriatur.

(1) *Proch. Bas.* XXXIX, 16: « Οἱ « ἐπίσημοι λῃσταὶ ἐν τοῖς τόποις, ἐν οἷς « ἐπλημμέλησαν, φουρκίζονται. καὶ χρὴ « ἵνα διὰ τῆς ϑέας καταπτοηϑῶσιν οἱ « ἐγχειροῦντες τοῖς τοιούτοις, καὶ ἵνα γέ- « νηται παραμυϑία τοῖς συγγενέσι τῶν « ἀναιρεϑέντων ».

(2) *Proch. Bas.* XXXIX, 17: « Οἱ « πρὸς τοὺς πολεμίους αὐτομολοῦντες καὶ « τὰς ἡμετέρας βουλὰς ἐπαγγέλλοντες εἰς « φοῦρκαν ἀναρτῶνται ἢ καίονται ».

(3) Cf. *Proch. Bas.* XXXIX, 18.

(4) Cf. *Proch. Bas.* XXXIX, 19

(5) *Proch. Bas.* XXXIX, 20: « Τὸ

20. Οἱ ἐπικαλούμενοι δαίμονας εἰς βλάβην ἀνθρώπων, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο ποιήσωσι, ξίφει τιμωρείσθωσαν (1).

21. Οἱ δοῦλοι ἢ ἀπελεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους δαιρόμενοι καὶ κουρευόμενοι χειροκοπείσθωσαν (2).

22. Ἀπαγορεύει ἡ διάταξις ‖ ἐκτέμνεσθαι ἀμφοτέρας τὰς χεῖρας καὶ τοὺς πόδας (3). c. 65 A

23. Ὁ δεξάμενος ἐν τῷ οἴκῳ αὐτοῦ τὸν φυγάδα δοῦλον δίδωσιν αὐτὸν τῷ δεσπότῃ αὐτοῦ μετὰ ἑτέρου ὁμοίου μετὰ (a) κ' νομισμάτων· ὁσάκις δὲ αὐτὸν τὸν δοῦλον ὑποδέξεται, τοσαυτάκις αὔξεται (4).

24. Ἐάν τις ἁρπάσῃ πρᾶγμα ἀπὸ ἐμπρησμοῦ (b) ἢ ἀπὸ καταπτώσεως οἴκου ἢ ἀπὸ ναυαγίου, ἢ ὑποδέξηται αὐτὰ ἐν τῷ οἴκῳ αὐτοῦ, εἰδὼς καὶ γινώσκων ἀπὸ ἁρπαγῆς εἶναι, ἐντὸς (c) μὲν ἑνὸς χρόνου ἐγκαλέσει κατ' αὐτοῦ ὁ κύριος τῶν πραγμάτων, εἰς τὸ τετραπλάσιον ἐνέχεται ὁ ταῦτα ἁρπάσας ἢ ὑποδεξάμενος αὐτά· μετὰ δὲ τὴν πλήρωσιν τοῦ χρόνου, εἰς τὸ ἁπλοῦν μόνον ἐνέχεται, ὥς φησι ὁ Ἀκουίλιος (5).

(a) *Così il Cod. Forse è da supplire* ἢ μετὰ? (b) *Cod.* ἐμπρισμοῦ (c) *Forse* εἰ ἐντὸς?

20. Qui daemonas in hominum noxam invocant, nisi per ignorantiam hoc fecerint, gladio puniantur.

21. Servi aut liberti, qui liberos homines pro servis vendunt, caesi ac tonsi manum amittant.

22. Vetat constitutio ambas manus et pedes amputari.

23. Qui servum fugitivum in domo sua recipit, eum restituit domino cum alio simili aut (?) .xx. solidis; quotiescumque vero eum receperit, toties augetur (mulcta).

24. Si quis rem rapuerit ex incendio vel ruina aedium vel naufragio, aut eas (res) in domo sua receperit, cum videret ac cognosceret eas raptas esse, et intra anni spatium adversus eum rerum dominus egerit, in quadruplum qui res rapuit aut recepit tenetur; post annum vero expletum, in simplum tantum tenetur, ut dicit ὁ Ἀκουίλιος.

« διὰ θυσιῶν μαντεύεσθαι κεκώλυται· ὁ « δὲ τοιοῦτος ξίφει τιμωρείσθω ».

(1) Cf. *Proch. Bas.* XXXIX, 21.

(2) Cf. *Proch. Bas.* XXXIX, 22.

(3) Cf. *Proch. Bas.* XXXIX, 23.

(4) *Proch. Bas.* XXXIX, 24: « Ὁ « τὸν φυγάδα δοῦλον ὑποδεξάμενος δίδω- « σιν αὐτὸν μετὰ ἑ. ὁ. ἤτοι κ' » &c.

(5) *Proch. Bas.* XXXIX, 25: « Κατὰ « τοῦ ἁρπάσαντος πρᾶγμα ἀπὸ ἐμπρη-

25. Τὸ ἐγκλημα τῆς μοιχείας τῇ παραδρομῇ τῶν ε' χρόνων σβέν-
p. 451 νυται· τουτέστι | ἐὰν προσληφθῇ τις εἰς μοιχείαν καὶ οὐκ ἐγκαλοῦσι κατ' αὐτοῦ ἐπὶ ε' χρόνον. μετὰ τοὺς ε' χρόνους ἂν ἐγκαλέσωσιν, οὐκ ἐνέχεται ὁ μοιχός. ἐπιδεῖται γὰρ τῇ παραγραφῇ τῶν ε' χρόνων. ἀλλὰ τοῦτο δεῖ νοῆσαι περὶ ἡμαρτηκότων εἰς γυναῖκα ὑπανδρον. ἥτις ἔστεργε τὴν ἀσχημοσύνην· περὶ δὲ τῆς μὴ βουλομένης τὸ κακόν, ἀλλ' ὑπὸ βίας ἐγένετο αὐτῇ τὸ ἁμάρτημα. ἡ ἀγωνὶ αὕτη μέχρις εἰκοσαετίας οὐ σβέννυται (1).

26. Οἱ διδάσκοντες τὰ ἀσεβῆ δόγματα ἐσχάτῃ ὑποκείνται τιμωρίᾳ (2).

27. Οἱ μανιχαῖοι χριστιανὶ γενόμενοι καὶ μετὰ ταῦτα τῶν μανιχαίων τὰ ἄσεμνα διαπραττόμενοι, ἢ τοῖς αὐτοῖς μανιχαίοις ἐντυγχάνοντες καὶ μὴ παραδιδόντες τοῖς ἄρχουσιν (a), ἐσχάτῃ τιμωρίᾳ ὑποκείνται. καὶ οἱ ὑπάρχοντες ἐν ἀξίαις ἢ (b) συστήμασι μέλλουσι φροντίζειν, μή τις

(a) καὶ μὴ - ἄρχουσιν] *Parole supplite dal Proch. Bas.* (b) ἢ *manca nel Cod.*

25. Adulterii accusatio .v. annorum decursu exstinguitur: h. e. si quis in adulterio deprehendatur et per .v. annos in eum accusationem non moverint, post .v. vero annos eum accusaverint, minime tenetur adulter, qui .v. annorum praescriptione defenditur. Sed hoc intelligendum est de his, qui in mulierem nuptam turpitudinique consentientem deliquerunt: de ea autem, quae sceleri non consensit, sed violentiam passa est, actio ipsa ad vicennium usque non exstinguitur.

26. Qui profana praecepta docent, ultimo subiacent supplicio.

27. Manichaei christiani facti, qui postea indignas Manichaeorum operas patraverint aut in Manichaeos ipsos incidentes (ad magistratus non detulerint), extremo subiacent supplicio. Et qui in dignitatibus (aut) collegiis sunt, curare debent, ne quis eorum

« σμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου, ἢ « κατὰ τοῦ ὑποδεχομένου κατὰ δόλον τὰ « τοιαῦτα πράγματα, ἐντὸς ἐνιαυτοῦ εἰς « τὸ τετρασπλάσιον δίδοται ἡ ἀγωγή, μετὰ « δὲ τὸν ἐνιαυτὸν εἰς τὸ διπλάσιον ». L'*Epanag.* XL, 28, ha giustamente, come il nostro: « μετὰ δὲ τὸν ἐνιαυτὸν « εἰς τὸ ἁπλοῦν ». Cf. la nota dello ZACHARIAE, *Proch. Bas.* p. 238.

(1) *Proch. Bas.* XXXIX, 26: « Πενταετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας. ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν « εἰς ἑκοῦσαν ἡμαρτηκότων ».

(2) Cf. *Proch. Bas.* XXXIX, 27.

αὐτῶν ἐστι τοιοῦτος· εἰ γὰρ γινώσκουσιν αὐτὸν καὶ μὴ παραδώσωσιν, c. 65 c
κἂν ὀρθόδοξοι ὑπάρχωσιν, ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλονται (1).

28. Οἱ μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται, διότι οὐδεὶς αὐτοὺς κληρονομεῖ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, κἂν ἔχωσι συγγενεῖς ὀρθοδόξους· μόνοι γὰρ οἱ παῖδες αὐτῶν κληρονομοῦσιν αὐτοὺς ὀρθόδοξοι ὑπάρχοντες. ταῦτα καὶ περὶ τῶν δονατιστῶν (a) (2).

29. Ὁ ποιῶν ἑλληνικὰς θυσίας ἢ τιμῶν τὰ εἴδωλα ἢ θυσιάζων ἢ λίβανον αὐτοῖς καίων, ὡς ἐκεῖνοι ἐποίουν, ὑποβάλλονται ἐσχάτῃ τιμωρίᾳ· ὁμοίως τιμωροῦνται οἱ σκοποῦντες ταῦτα καὶ βοηθοῦντες αὐτοῖς (3).

30. Ἐὰν ἰουδαῖος χριστιανὸν δοῦλον ὑποκτήσηται καὶ περιτεμεῖ αὐτόν, κεφαλικῇ ὑπόκειται τιμωρίᾳ (4).

31. Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος καὶ πάλιν ἑλληνίζοντες c. 65 D
κεφαλικῶς τιμωροῦνται (5).

32. Οἱ διαχωρισθέντες ἀπὸ τῆς ὀρθοδόξου πίστεως καὶ αἱρετικοὶ

(a) *Cod.* δανειστῶν

talis sit; si enim eum cognoverint et non tradiderint, licet orthodoxi sint, extremo afficiuntur supplicio.

28. Manichaei et post mortem accusantur; ideoque nemo iis succedit ex testamento aut ab intestato, licet cognatos orthodoxos habeant: soli enim liberi eorum, qui sint orthodoxi, iis succedunt. Haec etiam circa Donatistas valent.

29. Qui paganica facit sacrificia aut imagines colit iisve sacrificat vel thus accendit, prout illi faciebant, ultimo damnatur supplicio. Similiter puniuntur qui haec sciunt et eos adiuvant.

30. Si iudaeus servum christianum acquisierit et circumciderit, capitali poenae subiacet.

31. Qui sacro baptismate dignati sunt et iterum ad paganismum revertunt, capitaliter puniuntur.

32. Qui ab orthodoxa fide discedunt et haeretici fiunt, aut

(1) Cf. *Proch. Bas.* XXXIX, 28.

(2) *Proch. Bas.* XXXIX, 29: « ... κἂν « συγγενεῖς εἰσι ὀρθόδοξοι, πλὴν παί- « δων, ἀλλ' εἰσκομίζονται τὰ « πράγματα αὐτῶν. μόνοι γὰρ » &c.

(3) *Proch. Bas.* XXXIX, 30: « ... ὁμοί- « ως δὲ τιμωροῦνται καὶ οἱ συνίστορες « αὐτῶν καὶ οἱ ὑπηρέται τῶν θυσιῶν ».

(4) Cf. *Proch. Bas.* XXXIX, 31.

(5) Cf. *Proch. Bas.* XXXIX, 33.

γενάμενοι, ἢ ἐπαγγειλάμενά τινι θῦσαι τοῖς εἰδώλοις, οὐ δύνανται διατίθεσθαι, οὔτε δύνανται λαβεῖν ἐξ ἀδιαθέτου ἢ ἐκ διαθήκης (1).

33. Ὁ φονεύων ἀνιόντα ἢ κατιόντα, ἤγουν πατέρα αὐτοῦ ἢ πάππον ἢ υἱὸν καὶ ἔγγονον, ἢ συγγενῆ αὐτοῦ, πυρὶ παραδιδόσθω (2).

34. Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης καίεται (3).

35. Πυρὶ παραδίδονται οἱ δοῦλοι οἵτινες ἐπεβούλευσαν κατὰ τῆς ζωῆς τῶν οἰκείων δεσπότων· τιμωρείσθωσαν δέ, ἀναιρεθέντος τοῦ δεσπότου, ὅσοι δοῦλοι μή, αἰσθόμενοι τοῦ φόνου αὐτοῦ ἢ τῆς βουλῆς τῆς κατ' αὐτοῦ, συνέδραμον, εἴτε ἐν οἴκῳ εἴτε ἐν ὁδῷ ἢ ἐν ἀγρῷ τοῦτο συνέβη (4).

c. 66 A 36. Ὁ διδάσκων τοὺς βαρβάρους πλοῖα κατασκευάζειν | κεφαλικῇ τιμωρίᾳ ὑπόκειται (5).

alicui sacrificare imaginibus mandant, testari non possunt neque hereditatem accipere possunt ab intestato vel ex testamento.

33. Qui interficit ascendentem vel descendentem, scilicet patrem suum vel avum vel filium vel nepotem, aut cognatum suum, igni tradatur.

34. Servus conscius et administer in raptu dominae suae crematur.

35. Igni traduntur servi, qui dominorum suorum vitae insidiati sint. Domino autem necato, servi omnes puniuntur, qui, illius morte aut insidiis contra eum cognitis, non succurrerunt, sive in domo sive in via vel in agro hoc evenerit.

36. Qui barbaros docet naves parare, capitali poenae subiacet.

(1) *Proch. Bas.* XXXIX, 34 : « Οἱ « ἀποστάντες... ἢ θύσαντες ἢ θῦσαί « τινι ἐπαγγειλάμενοι οὐ δύνανται διατί- « θεσθαι ἢ δωρεῖσθαι » &c.

(2) *Proch. Bas.* XXXIX, 35 : « Ὁ « ἀνελὼν ἀνιόντα » &c.

(3) Cf. *Proch. Bas.* XXXIX, 36.

(4) *Proch. Bas.* XXXIX, 37 : « ... κἀ- « κεῖνοι τιμωρείσθωσαν τῶν οἰκετῶν, ἀναι- « ρεθέντος τοῦ δεσπότου, ὅσοι τῆς φο- « νῆς αὐτοῦ ἢ τῆς κατ' αὐτοῦ ἐπιβουλῆς « αἰσθόμενοι μὴ συνέδραμον, εἴτε » &c. Si noti come il nostro colloca male il « μὴ » avanti ad « αἰσθ. » anzichè a « συνέδρ. ».

(5) Cf. *Proch. Bas.* XXXIX, 38.

37. Ὁ φονεύσας τὸν ἐπελθόντα κατ' αὐτοῦ, ἐν ᾧ ἐκινδύνευε περὶ τῆς ζωῆς, ἀνεύθυνός ἐστι καὶ χωρὶς πάσης κατακρίσεως (1).

38. Οἱ ἁρπάσαντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν ἢ εὐγενῆ ἢ δούλην ἢ ἐλευθέραν (a), καὶ μάλιστα ἂν αἱ γυναῖκές εἰσι καθιερωμέναι Θεῷ, κἂν τὴν ἰδίαν μνηστήν τις ἥρπασεν, ἀφιερωμένην ἢ χωρὶς ἀφιερωσύνης, εἰ μὲν μεθ' ὅπλων, τουτέστιν ξιφῶν ἢ ῥοπάλων, τὴν ἁρπαγὴν (b) ἐποιήσαντο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν· οἱ δὲ συνυπουργοῦντες αὐτοῖς ἢ συνειδότες ἢ ἑκουσίως ὑποδεξάμενοι αὐτοὺς ἢ εἰσενεγκόντες (c) οἱανδήποτε σπουδήν, τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. εἰ δὲ ἐποίησαν τὴν ‖ ἁρπαγὴν χωρὶς οἱωνδήποτε ὅπλων, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ βοηθήσαντες αὐτῷ ἐν τῇ ἁρπαγῇ καὶ συνειδότες καὶ ὑπηρετήσαντες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν καὶ βουλὴν εἰσενεγκόντες (c), τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν (2). c. 66 B

39. Ἐὰν δοῦλος ἢ (d) οἰκιακὸς ἐγκληματικῶς κατηγορῇ (e) τοῦ

(a) ἐλευθέραν] *Così il Cod. Ma è da leggere, o da intendere* ἀπελευθέραν (b) *Cod.* ἁρπαγὶν (c) *Oppure* εἰσενέγκαντες? *Cod.* εἰσὶνέγκοντες (d) ἢ] *Parola supplita.* (e) ἐγκληματικῶς κατηγορῇ] *Mancano queste parole nel Cod.*

37. Qui aggressorem suum interficit, ubi de vita periclitatur, insons est et omni accusatione caret.

38. Qui mulierem rapiunt aut desponsatam aut non desponsatam aut viduam aut ingenuam aut servam aut libertinam, et maxime si mulieres Deo consecratae sint, licet suam quis sponsam rapiat, consecratam vel absque consecratione, si quidem cum armis, h. e. gladiis aut fustibus, raptum fecerint, hi gladio puniantur. Adiutores vero eorum, qui vel conscii fuerunt vel eos sponte receperunt vel qualemcumque operam navarunt, verberati ac tonsi nasum amittant. Quod si sine quibuscumque armis raptum commiserint, is quidem qui raptum fecit manum perdat, illi vero, qui in raptu ei opem tulerunt et conscii ac ministri fuerunt, sive sponte receperunt, sive quamlibet operam consiliumque iis praestiterunt, verberati ac tonsi relegentur.

39. Si servus (vel) familiaris (criminaliter egerit) adversus

(1) Cf. *Proch. Bas.* XXXIX, 39: qui manca l'ultima frase del nostro: « καὶ « χωρὶς πάσης κατακρίσεως ».

(2) Cf. *Proch. Bas.* XXXIX, 40.

ἔχοντος αὐτόν, τὴν γλῶσσαν αὐτοῦ [a] ἀποτεμνέσθω, χωρὶς τοῦ δούλου ἐκείνου τοῦ κατηγοροῦντος τὸν δεσπότην αὐτοῦ περὶ καθοσιώσεως, ἤτοι περὶ τοῦ θανάτου τοῦ βασιλέως. καὶ ὁ ἀπελεύθερος ἐπιφέρων ἔγκλημα [b] τῷ πάτρωνι αὐτοῦ ἢ τῷ κληρονόμῳ τοῦ πάτρωνος αὐτοῦ τοιαύτην ὑπομενέτω τιμωρίαν, οἵαν ὁ δοῦλος καὶ ὁ οἰκιακός [1].

40. Ὁ καταλαβὼν τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμ-
c. 66 c πλοκῇ, εἰ συμβῇ καὶ φονεύσει αὐτούς, οὐκ εὐθύνεται καὶ οὐ κατακρίνεται ὡς ἀνδροφόνος. εἰ δέ τις ὑποπτεύσει τινά, ὡς πολλάκις γίνεται, βουλεύεσθαι τῇ [c] τῆς ἰδίας γυναικὸς συμπαῖξαι σωφροσύνῃ [d] καὶ ἐκπέμψει αὐτῷ τρεῖς παραγγελίας ἐγγράφως ἐχούσας μαρτυρίας ἀνδρῶν ἀξιοπίστων καὶ μετὰ τὰς τρεῖς ταύτας ἐγγράφους διαμαρτυρίας, εὕροι αὐτὸν συντυγχάνοντα τῇ αὐτοῦ γαμετῇ [2], εἰ μὲν εἰς τὸν οἶκον αὐτοῦ ἢ εἰς τὸν οἶκον αὐτῆς τῆς γυναικὸς ἢ εἰς τὸν οἶκον αὐτοῦ τοῦ μοιχοῦ ἢ ἐν κρυφίοις [e] τόποις [3] ἢ ἐν προαστείοις, ἄδειαν ἐχέτω ὁ ἀνὴρ ταῖς οἰκείαις

(a) τὴν – αὐτοῦ] *Forse da espungere come glossa. V. la nota.* (b) ἔγκλημα] *Parola supplita.* (c) *Cod.* τι (d) συμπαῖξαι σωφροσύνῃ] *Parole supplite.* (e) *Cod.* κρυφοῖς

eum, cuius est, lingua eius abscindatur, excepto servo, qui dominum suum maiestatis accusat, h. e. de morte regis. Et libertus patrono suo vel eius heredi (crimen) obiciens eamdem poenam sustineat, qualem servus et familiaris.

40. Qui adulterum cum uxore sua in complexu deprehendit, si forte eos (!) interemerit, non tenetur neque damnatur ut homicida. Quod si quis, uti plerumque fit, suspicatus fuerit aliquem uxoris suae (castitati illudere) velle, eique tres scriptas miserit attestationes, testimonia continentes virorum fide dignorum, et post ternas hasce scriptas attestationes invenerit eum cum sua conversantem uxore, si quidem in domo sua aut in domo uxoris aut in domo adulteri, aut in locis absconsis vel in suburbiis, potestatem vir habeat illum suis manibus perimendi ac interficiendi,

(1) *Proch. Bas.* XXXIX, 41: « Ἐάν « τις οἰκ. ἢ δ. ἐγκληματικῶς κατηγορῇ « τοῦ ἔχοντος αὐτόν, ἀποτεμνέσθω· ἐξη- « ρημένου τοῦ ἐπὶ καθοσιώσει κατηγοροῦν- « τος. καὶ ὁ ἀπελεύθερος ... τὴν αὐτὴν « ὑποφερέτω τιμωρίαν τοῖς δούλοις καὶ « τοῖς οἰκιακοῖς ». Si noti che il « τὴν « γλ. αὐ. » del nostro non ha riscontro nè qui nè nell'*Epanag.* XL, 42.

(2) *Proch. Bas.* XXXIX, 42: « Ὁ τὸν « μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν « συμπλοκῇ καταλαβών, εἰ συμβῇ αὐ- « τὸν ἀνελεῖν » &c.

(3) Loc. cit.: « ... ἢ ἐν προπίναις ».

χερσὶ τοῦτον ἀνελεῖν καὶ φονεύειν, οὐδένα κίνδυνον ἢ ζημίαν ἐκ τούτου εὐλαβούμενος καὶ φοβούμενος. εἰ δὲ ἐν ἄλλῳ τόπῳ τὸν τοιοῦτον εὕροι συντυγχάνοντα μετὰ τῆς ἰδίας γαμετῆς, ἢ ἐν ἐκκλησίᾳ, οὐ μέλλει χωρὶς τριῶν ἀξιοπίστων μαρτύρων τι ποιῆσαι αὐτῷ, ‖ δι' ὧν δυνηθῇ ἀποδεῖξαι τῷ ἄρχοντι, ὅτι εὗρεν αὐτὸν μετὰ τῆς ἰδίας γαμετῆς· τοῦτον θεσπίζομεν, ἐκ μόνου τοῦ ὑποπεσεῖν τῷ ἐγκλήματι τῆς μοιχείας, καὶ μὴ ζητουμένης ἄλλης τινὸς ἀποδείξεως, τιμωρεῖσθαι· ἄδειαν εἶναι τῷ ἀνδρί, ὡς ἂν θελήσῃ, κατηγορεῖν τῆς ἰδίας γαμετῆς καὶ ὑπεξιέναι τῷ ἐγκλήματι κατὰ τὴν κέλευσιν τῶν νόμων (1). c. 66 D

41. Γυνὴ ὕπανδρος, ἐὰν ποιήσῃ μοιχείαν μετὰ τοῦ ἰδίου δούλου, αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη ῥινοκοπείσθω, ἀπελαυνομένη καὶ (a) τῆς πολιτείας, ἐν ᾗ κατοικεῖ, ἐκ πάσης τῆς οἰκείας περιουσίας ἐκπιπτέτω· ὁ δὲ δοῦλος ὁ μοιχεύσας αὐτὴν ξίφει τιμωρείσθω (2).

(a) *Così il Cod. Forse* ἀπελαυνομένη δὲ

neque ullum ex hoc periculum aut damnum vereatur et metuat. Si vero alio in loco illum cum sua conversantem uxore inveniat, vel in ecclesia, sine tribus testibus fide dignis nihil ei facere debet, per quos magistratui probare possit, se cum sua uxore illum invenisse: hunc puniri iubemus ex eo solo, quod adulterii accusationi subiacet, nulla alia requisita probatione; virum autem potestatem habiturum, prouti voluerit, uxorem accusandi et secundum legum iussionem crimen exsequendi.

41. Mulier maritata, si cum proprio servo adulterium commiserit, ipsa quidem verberata ac tonsa nasum perdat et ex civitate, in qua habitat, expellatur atque ex omni sua substantia cadat; servus autem qui cum ea adulterium commisit gladio puniatur.

(1) Loc. cit.: « Εἰ δὲ ἐν ἄλλῳ τόπῳ « τὸν τοιοῦτον εὕροι μετὰ τῆς ἑαυτοῦ γα- « μετῆς διαλεγόμενον, ἢ ἐν ἐκκλησίᾳ, « οὐκ ἔλαττον τῶν τριῶν μαρτύρων ἀξιο- « πίστων συγκαλουμένων, δι' ὧν ἀπο- « δεῖξαι δύναται, ὅτιπερ αὐτὸν μετὰ τῆς « ἑαυτοῦ γαμετῆς εὗρεν, τῷ ἄρχοντι πα- « ραδιδόναι τῷ τὰ ἐγκλήματα ἐξε- « τάζοντι, ἐκεῖνον δὲ ταῖς ἀλη- « θείαις γινώσκοντα μετὰ τὰς « τρεῖς ἐγγράφους διαμαρτυρίας « τῇ τοιαύτῃ γυναικὶ τὸν τοιοῦ- « τον συνευρεθέντα, τὸν μὲν τοιοῦ- « τον, ὡς ἐκ μόνου τούτου τῷ τῆς μοι- « χείας ἐγκλήματι ὑποπεσόντα, μηδεμιᾶς « ἄλλης ζητουμένης ἀποδείξεως, τιμω- « ρεῖσθαι » &c. Si noti ciò che il nostro ha tralasciato.

(2) *Proch. Bas.* XXXIX, 43: « Γυνὴ « ὕπανδρος τῷ ἰδίῳ δούλῳ μοιχευθεῖσα » &c.

42. Γυνὴ μὴ ἔχουσα ἄνδρα, ἐὰν πορνεύσει [a] τῷ ἰδίῳ δούλῳ, εἰ μὲν μὴ ἔχουσα παῖδας τοῦτο διαπράξειε, τυπτέσθω καὶ κουρευέσθω, c. 67 a καὶ ὁ τοιοῦτος | δοῦλος τυπτόμενος καὶ κουρευόμενος πιπρασκέσθω καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω· καὶ εἰ μὲν ἔχει παῖδας ἡ τοιαῦτα πράσσασα, ἡ ὑπόστασις αὐτῆς κατὰ δεσποτείαν καὶ τὸ τίμημα τοῦ δούλου ἀνεκποιήτως τοῖς παισὶν αὐτῆς περιφυλαττέσθω, τῆς χρήσεως μόνης παρ' αὐτῇ μενούσης [1].

43. Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν· οἱ δὲ γεγονότες ὑπουργοὶ καὶ μέσοι τῷ τοιούτῳ ἀσεβήματι τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν [2].

44. Ὁ ὀμόσας ἐξ ἀποφάσεως τοῦ δικαστοῦ ἢ ἐξ αἰτήσεως τοῦ ἀντιδίκου αὐτοῦ, ἐφαπτόμενος τῶν ἀχράντων εὐαγγελίων ἐπ' ἐκκλησίας, ἐπιορκεῖν δὲ μετὰ ταῦτα ἐλεγχθείς, γλωσσοκοπείσθω. τὸ αὐτὸ καὶ ἐπὶ τῶν μαρτύρων [3].

(a) *Forse* πορνεύσῃ?

42. Mulier virum non habens, quae cum servo suo adulterium commiserit, si liberis quidem non exstantibus hoc fecerit, verberetur ac tondeatur et servus ille verberatus ac tonsus vendatur eiusque pretium fisco applicetur; sin autem liberos habens hoc fecerit, eius substantia iure dominii et pretium quoque servi inalienabiliter liberis serventur, solo apud eam remanente usufructu.

43. Adulteri verberati ac tonsi naso mutilentur; qui vero administri et nuntii hoc in scelere fuerunt, verberati ac tonsi relegentur.

44. Qui ex iudicis sententia aut ex adversarii sui petitione iusiurandum praestiterit, tactis in ecclesia incontaminatis evangeliis, posteaque peierasse convincatur, linguam amittat. Idem et in testibus servandum.

(1) *Proch. Bas.* XXXIX, 44: « Γυνὴ « μὴ ἔχουσα ἄνδρα τῷ ἰδίῳ δούλῳ μι- « γεῖσα... εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπρα- « χθείη, καὶ ἡ ὑπόστασις αὐτῆς πᾶσα κατὰ « δεσποτείας τρόπον παραυτίκα τοῖς παι- « σὶν ἀνεκποιήτως φυλαττέσθω, τῆς χρή- « σεως μόνης παρ' αὐτῇ μενούσης, καὶ ἡ « τιμὴ δὲ τοῦ διαπραχθέντος δούλου τοῖς « παισὶν ἀνήκει ». Il nostro invece sottopone alla stessa regola e le sostanze della donna e il prezzo del servo, ma per errore evidente.

(2) Cf. *Proch. Bas.* XXXIX, 45.

(3) *Proch. Bas.* XXXIX, 46: « Ὁ ἐκ

45. Οὐ δύναται [a] κινεῖν ἀδελφὸς κατὰ ἀδελφοῦ ‖ μέγα ἔγκλημα· c. 67 B
καὶ γὰρ οὐ μόνον οὐκ ἀκούεται, ἀλλὰ καὶ ἐξορίᾳ ὑποβληθήσεται [1].

46. Ὁ ἁρπάζων καὶ μεταλλάσσων ὅρια ἀποδίδωσι διπλῆν τὴν ἁρπαγήν [2].

47. Ἐάν τις ἄνθρωπος ἁρπάσῃ τι πρᾶγμα χωρὶς τῆς ἀποφάσεως τοῦ δικαστοῦ, εἰ μὲν ἴδιον αὐτοῦ εἴη τὸ πρᾶγμα, ἐκπιπτέτω αὐτοῦ [b] τοῦ πράγματος, εἰ δὲ ἀλλότριον ὑπάρχει τὸ πρᾶγμα, παρεχέτω αὐτὸ τῷ δεσπότῃ τοῦ πράγματος καὶ ὅσον διατιμᾶται [3].

48. Ἐὰν μισθώσῃ [c] τις ἵππον ἕως ὡρισμένου τόπου τινὸς καὶ ὑπερβῇ τὸν ὡρισμένον τόπον, καὶ συμβῇ βλάβη τις τῷ ἵππῳ ἢ θάνατος, αὐτῷ ὑπάρχει ὁ λόγος καὶ τὸ ἀζήμιον ποιήσει τῷ κυρίῳ τοῦ ἵππου· εἰ δὲ βλάβη τις γένηται τῷ ἵππῳ ἐντὸς τοῦ ὁρισθέντος τόπου ἢ θάνατος ἐπέλθοι, τὸ ἀζήμιον ἕξει ὁ κεχρη‖μένος τῷ ἵππῳ, εἰ μὴ ἄρα ἐγένετο c. 67 C
τὸ πάθος τῷ ἵππῳ ἐξ ἀμελείας ἢ ἐξ ὑποβουλῆς αὐτοῦ [4].

(a) *Cod.* δείναται (b) *Cod.* αὗ (c) *Cod.* μισϑώσι

45. Frater adversus fratrem magnam accusationem excitare non potest; non solum enim non audiatur, sed et exilio punietur.

46. Qui limites aufert et mutat, duplum ablatum reddit.

47. Si homo aliquis rem aliquam citra iudicis sententiam abstulerit, si res quidem propria ipsius est, ex re cadit; sin autem aliena res est, ipsam et quantum aestimatur domino praestet.

48. Si quis equum ad certum usque locum conduxerit statutumque locum praeterierit ac damnum aliquod vel mors equo obvenerit, periculum ad eum spectat et indemnem equi dominum faciet; quod si vero intra praefinitum locum damnum aliquod equo accidat vel mors superveniat, indemnis equi conductor erit, nisi forte equo noxa accidit culpa vel dolo illius.

« δικαστικῆς ψήφου ἢ ἐξ αἰτήσεως τοῦ « ἀντιδίκου ὅρκον ὑπέχων ἐπ' ἐκκλησίας, « τῶν ἀχράντων ἐφαπτόμενος εὐαγγε- « λίων » &c.

(1) *Proch. Bas.* XXXIX, 47 : « Ἀδελ- « φὸς κατὰ ἀδελφοῦ μέγα ἔγκλημα κινεῖν « οὐ δύναται, ἐπείτοιγε καὶ οὐκ ἀκουσϑή- « σεται καὶ ἐ. ὁ. ».

(2) *Proch. Bas.* XXXIX, 48 : « Ὁ « ἁρπάζων γῆν ἢ μετατιϑεὶς ὅρια διπλῆν « τὴν ἁρπαγὴν ἀποδίδωσιν ».

(3) *Proch. Bas.* XXXIX, 49 : « Ἐὰν « χωρὶς δικαστικῆς ἀποφάσεως ἀφέληταί « τις πρᾶγμα, εἰ μὲν ἴδιον αὐτοῦ, ἐκπί- « πτει τῆς αὐτοῦ δεσποτείας, εἰ δὲ ἀλ- « λότριον, παρεχέτω αὐτὸ τὸ πρᾶγμα καὶ « τὴν διατίμησιν αὐτοῦ ».

(4) *Proch. Bas.* XXXIX, 50 : « Ὁ

49. Ὁ ἐναποκλείσας ἀλλότρια θρέμματα καὶ ὑπὸ τροφῆς διαφθείρας αὐτὰ ἢ ἄλλως πως φονεύων, εἰς τὸ διπλάσιον καταδικάζεται (1).

50. Κριῶν ἢ βοῶν ἢ ἵππων ἢ χοίρων ἢ ἄλλων τινῶν θρεμμάτων συνελθόντων, εἰ μὲν ὁ πρῶτος ἀπελθὼν ὑπὸ (a) τῶν ἄλλων φονευθῇ, ἀνεύθυνος ὑπάρχει ὁ δεσπότης τοῦ φονεύσαντος κριοῦ (b)· εἰ δὲ ἐφόνευσεν ὁ ἀπελθών, ὑπεύθυνος ὑπάρχει ὁ δεσπότης τοῦ φονεύσαντος καὶ ἀποστρέφει τὸ ζῶον τῷ δεσπότῃ τοῦ φονευθέντος ζώου, ἢ περιποιείτω (c) τὸ ἀζήμιον αὐτοῦ (2).

51. Προστάσσομεν τύπτεσθαι τοὺς κλέπτας ἐν τῷ φοσσάτῳ, εἰ
c. 67 D μὲν ὅπλα ‖ κλέπτουσι, σφοδρῶς τύπτεσθαι, εἰ δέ τι τῶν ὑποζυγίων, ἤτοι τῶν κτηνῶν, χειροκοπεῖσθαι (3).

52. Θεσπίζομεν (d) τοὺς κλέπτοντας ἐν οἱαδήποτε πολιτείᾳ, εἰ μὲν ἅπαξ τοῦτο ἐποίησαν καὶ πλούσιοι καὶ ἐλεύθεροι ὑπάρχουσι, σὺν τῇ ἀποστροφῇ τοῦ κλαπέντος πράγματος κελεύομεν ἵνα δώσωσι (e) τῷ

(a) ὑπὸ] *Parola supplita.* (b) *Il Cod. aggiunge in questo luogo le parole* εἰ δὲ ἐφόνευσεν ὁ ἀπελθὼν ὑπάρχει ὁ δεσπότης τοῦ φονεύσαντος κριοῦ, *che poi sono state espunte.* (c) *Cod.* περὶποιήτο (d) *Così per correzione da* Τεσπίζομεν (e) *Cod.* δώσι

49. Qui aliena pecora inclusit et alimenti inopia peremit vel alio quo modo necavit, in duplum condemnatur.

50. Arietibus tauris equis porcis vel aliis pecoribus inter se congressis, si primus quidem aggressor ab aliis occiditur, dominus interimentis arietis indemnis est; si autem aggressor alium interemerit, dominus interimentis tenetur, et vel tradit animal domino interemti animalis, vel indemnitatem ei praestat.

51. Eos verberari iubemus, qui in castris furantur; si quidem arma furantur, vehementer verberari, si autem iumenta, scil. pecora, manum abscindi.

52. Iubemus eos, qui in quacumque civitate furantur, si quidem semel hoc fecerint et locupletes ac liberi sint, una cum rei furtivae restitutione duplum eius pretium domino rei furtivae

« κεχρημένος ἵππῳ ἕως ὡρισμένου τινὸς « τόπου, τὸν δὲ ὁρισθέντα τόπον τοῦτον « ὑπερβιβάσας, τῆς ὡς εἰκὸς γενομένης « ἐπ' αὐτῷ βλάβης ἢ τοῦ θανάτου αὐτὸς « τὸν λόγον ὑπέχει, καὶ τὸ ἀζήμιον τῷ « κυρίῳ τοῦ ἵππου περιποιεῖται » &c.

(1) *Proch. Bas.* XXXIX, 51: « ... τρο- « φῆς ἐνδείᾳ διαφθείρας, ἢ ἄλλως π. ἀνε- « λών » &c.

(2) Cf. *Proch. Bas.* XXXIX, 52.

(3) *Proch. Bas.* XXXIX, 53: « Τοὺς « ἐν φωσσάτῳ κλέπτοντας, εἰ μὲν ὅπλα,

αὐθέντῃ [a] τοῦ κλαπέντος πράγματος διπλοῦν τὸ τίμημα ὅσον χρῄζει· εἰ δὲ πένητες καὶ ἄποροί εἰσιν οἱ κλέπται, τυπτόμενοι ἐξοριζέσθωσαν τῆς πόλεως ἐκείνης. εἰ δὲ οὐχ ἅπαξ ἀλλὰ πολλάκις ἐκρατήθησαν εἰς τοῦτο τὸ πταῖσμα, χειροκοπείσθωσαν [1].

53. Ἐὰν ὁ δεσπότης τοῦ κλέψαντος δούλου μὴ θελήσῃ δοῦναι τὴν ζημίαν εἰς ἐκεῖνον εἰς ὃν ἐποίησεν [b] ὁ δοῦλος αὐτοῦ, ἀναγκαζέσθω παραδοῦναι αὐτὸν δοῦλον [c] εἰς τελείαν δεσποτείαν τοῦ χάσαντος τὸ πρᾶγμα αὐτοῦ [2].

54. Οἱ ἀπελαύνοντες τὰς ξένας ἀγέλας, εἰ μὲν ἅπαξ τοῦτο ἐποίησαν, τυπτέσθωσαν, εἰ δὲ ἐκ δευτέρου τοῦτο ἐπαίησαν, ἐξοριζέσθωσαν· εἰ δὲ ἐκ τρίτου, χειροκοπείσθωσαν, καὶ ἡ ἀγέλη ἵνα στραφῇ τῇ ἰδίᾳ δεσποτείᾳ [3]. c. 68 A

55. Οἱ ἐκδύοντες τοὺς νεκροὺς ἐν τοῖς τάφοις χειροκοπείσθωσαν [4].

(a) *Cod.* αὐθέντι (b) *Per correzione di 1ª mano* ἐποίησαν (c) *Forse* αὐτὸν τὸν δ.?

praestare; sin autem pauperes et inopes fures sint, verberati ex illa urbe expelli. Quod si non semel sed saepius in hoc scelere deprehendantur, manum perdant.

53. Si furantis servi dominus damnum ei praestare noluerit, cui (furtum) servus suus fecit, servum ipsum tradere cogatur in illius plenum dominium, qui re sua privatus est.

54. Qui alienos greges abducunt, si quidem semel hoc fecerint, verberentur, sin autem iterum hoc fecerint, relegentur; quod si tertia vice, manum amittant et proprio domino grex restituatur.

55. Qui mortuos in sepulcris spoliant, manum amittant.

« σφοδρῶς προστάττομεν τύπτεσθαι » &c.

(1) *Proch. Bas.* XXXIX, 54: « Τοὺς « ἐν οἰῳδήποτε πολιτείᾳ κλέπτοντας, ἅπαξ « μὲν τοῦτο ποιοῦντας, θεσπίζομεν, εὐπό- « ρους μὲν καὶ ἐλευθέρους ὑπάρχοντας, πρὸς « τῇ ἀποκαταστάσει τοῦ κλαπέντος καὶ « διπλῆν ποσότητα καταβάλλειν τῷ τὴν « κλοπὴν ὑπομείναντι· εἰ δὲ ἄποροι εἶεν οἱ « τοῦτο διαπεπραχότες, τυπτόμενοι ἐξοριζέ- « σθωσαν. ἐὰν δὲ οὐχ ἅπαξ ἀλλὰ πολλά- « κις ἐπὶ κλοπῇ ἁλῶσι, χειροκοπείσθωσαν ».

(2) *Proch. Bas.* XXXIX, 55: « Ὁ τοῦ « κλέπτου δούλου δεσπότης ἢ τὸ ἀζήμιον « τῷ τὴν κλοπὴν ὑποστάντι περιποιεῖται, « ἢ, εἰ μὴ βούλοιτο τοῦτο ποιεῖν, τὸν « δοῦλον εἰς τελείαν δεσποτείαν παραδί- « δωσι τῷ τὴν κλοπὴν ὑποστάντι ».

(3) *Proch. Bas.* XXXIX, 56: « ... εἰ « δὲ καὶ τρίτον φωραθεῖεν τὸ τοιοῦ- « τον κατατολμῶντες, χειροκοπεί- « σθωσαν, τῆς ἀπελαθείσης ἀγέλης δη- « λονότι τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν « ἀποκαθισταμένης ».

(4) Cf. *Proch. Bas.* XXXIX, 57.

56. Ὁ εἰσελθὼν ἐν τῷ θυσιαστηρίῳ ἢ ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ διὰ τὸ κλέπτειν τι τῶν ἱερῶν [a] πραγμάτων, τυφλούσθω· ὁ δὲ λαβών τι ἀπὸ τοῦ ναοῦ καὶ οὐχὶ ἀπὸ τοῦ θυσιαστηρίου τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω [1].

57. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων σωφρονιζέσθω διὰ ιβ̄ ἀλλακτῶν, ἤγουν ἵνα δαρῇ ιβ̄ ..... [b]· ὁ μὴ ἔχων γυναῖκα καὶ περιπίπτων ἐν αὐτῇ τῇ ἁμαρτίᾳ σωφρονιζέσθω διὰ ἓξ ἀλλακτῶν [2].

c. 68 B 58. Ὁ ἔχων γυναῖκα καὶ μιγνύμενος [c] τῇ ἰδίᾳ ‖ δούλῃ, εἰ γνωρισθῇ τὸ πρᾶγμα, οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω· ὁ δὲ κατὰ τὸν τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην πιπρασκέτω αὐτὴν εἰς ἄλλην ἐπαρχίαν, τῆς τιμῆς τῆς δούλης τῷ μέρει τοῦ δημοσίου φυλαττομένης. ὁ δὲ πορνεύων εἰς ἀλλοτρίαν δούλην, εἰ μὲν εὔπορος ὑπάρχει, παρεχέτω διὰ τὸ πταῖσμα τῷ δεσπότῃ τῆς δούλης νομίσματα λς̄, εἰ δὲ ἄπορός ἐστι, τυπτέσθω καὶ διδότω καθ' ὅσον δυνηθῇ κατὰ ἀναλογίαν τῶν λς̄ νομισμάτων [3].

(a) *Cod.* ἱῖρῶν (b) *Il Cod. qui reca le parole* ἀλλαγὰς ἀνῶν, *che non intendo.*
(c) *Cod.* μηγνυμενος *(senz'accento).*

56. Qui sacrarium interdiu aut noctu ingreditur, ut quid ex rebus sacris surripiat, obcoecatur; qui autem aliquid a templo et non a sacrario surripit, verberatus ac tonsus relegatur.

57. Qui uxorem habet et scortatur, .XII. fustigationibus castigetur, h. e. .XII. fustigationibus (?) verberetur; qui vero uxorem non habens in idem flagitium incidit, .VI. fustigationibus emendetur.

58. Qui uxorem habet et propriae se miscet ancillae, si res innotuerit, ipse quidem verberibus castigatur; loci autem magistratus ancillam accipiens ipsam in alia provincia vendat, ancillae pretio fisci parti servato. Qui vero cum aliena ancilla scortatur, si quidem locuples est, ancillae domino pro delicto .XXXVI. solidos solvat; si autem egenus est, verberetur ac praestet in quantum possibile est pro rata .XXXVI. solidorum.

(1) Cf. *Proch. Bas.* XXXIX, 58.
(2) Cf. *Proch. Bas.* XXXIX, 59.
(3) Cf. *Proch. Bas.* XXXIX, 60 e 61.

59. Οἱ ἁμαρτάνοντες εἰς καλογραίας ἢ εἰς τὰς διακονίσσας αὐτῶν ἢ εἰς τὰς ἀσκητρίας, ὡς ἐνυβρίζοντες τὴν ἐκκλησίαν τὴν νύμφην τοῦ Χριστοῦ, ῥινοκοπείσθωσαν αὐτοί τε καὶ ἐκεῖναι, αἷς οὗτοι διεφθάρησαν παρανόμως (1).

60. Ὁ μιγνύμενος (a) τῇ ἰδίᾳ συντέκνῳ, ἢ τῇ κατὰ σάρκα ‖ αὐτῷ συμπλεκομένῃ, ῥινοκοπείσθω ἅμα αὐτῇ (b) (2). c. 68 c

61. Ὁ συνειδὼς μοιχείαν τῇ ἰδίᾳ γυναικὶ καὶ παραχωρῶν αὐτῇ τὸ κακὸν τοῦτο ποιῆσαι τυπτόμενος ἐξοριζέσθω· ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλλὶς (c) ῥινοκοπείσθωσαν (3).

62. Ὁ μιγνύμενος παρθένῳ κόρῃ τῷ θελήματι αὐτῆς, μὴ γινωσκόντων τὸ πρᾶγμα τῶν πατέρων τῆς κόρης, εἰ μὲν ἔλθοι εἰς γνῶσιν εἰς τοὺς γονεῖς αὐτῆς, δύναται λαβεῖν αὐτὴν εἰς γυναῖκα, ἂν θέλῃ ἐκεῖνος καὶ οἱ γονεῖς τῆς κόρης· εἰ δὲ οἱ γονεῖς οὐ θέλουσιν (d), εἰ μὲν πλούσιός ἐστιν ὁ φθορεύς, διδότω τῇ φθαρείσῃ (e) κόρῃ μίαν λίτραν (f) νομισμάτων,

(a) *Cod.* μἡγνύμενος (b) *Cod.* αὐτῶ (c) *Così il Cod.* (d) *Il Cod. aggiunge* ἢ ὁ φθορεύς! (e) *Cod.* φθαρήσει (f) *Cod.* λύτραν

59. Qui in sanctimoniales aut diaconissas earum aut ascetrias peccant, ut qui Ecclesiam Christi sponsam contumelia afficiunt, et ipsi et quae ab iis iniuste corruptae nasum perdant.

60. Qui propriae susceptae matri vel ei, quae ipsi per carnem coniuncta est, se miscet, cum ea nasum amittat.

61. Qui uxoris suae adulterium noscit eamque flagitium hoc committere sinit, verberatus expellatur; adulter autem et adultera nasum perdant.

62. Qui puellae virgini se miscet ipsius voluntate, sed puellae parentibus rem ignorantibus, si quidem ad parentum notitiam (res) venerit, ipsam in uxorem accipere potest, dummodo ille et puellae parentes velint; quod si parentes nolint, si quidem corruptor dives est, compressae puellae libram unam solidorum dato; sin

(1) *Proch. Bas.* XXXIX, 62: « Οἱ « ταῖς μοναζούσαις ἢ ταῖς διακονίσσαις « ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς « εἰς τὴν νύμφην τοῦ Χριστοῦ ἐκκλησίαν « ὑβρίζοντες, ῥινοκοπείσθωσαν αὐτοί τε « καὶ αἷς οὗτοι προσεφθάρησαν ».

(2) *Proch. Bas.* XXXIX, 63: « Ὁ τῇ « ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου « ἀγαγόμενος ἢ καὶ ἄλλως σαρκικῶς « συμπλεκόμενος ἅμα αὐτῇ ῥινοκοπείσθω· « δηλονότι πρότερον ἀπ' ἀλλήλων διϊσταμένων » &c.

(3) Cf. *Proch. Bas.* XXXIX, 64.

εἰ δὲ ἄπορος ὑπάρχει, τὸ ἥμισυ τῆς αὐτῆς ὑποστάσεως· εἰ δὲ εἴη (a) πτωχότατος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω (1).

63. Ὁ βιαζόμενος τὴν κόρην καὶ φθείρων αὐτὴν δεινοκοπείσθω,
c. 68 D διδοὺς αὐτῇ ‖ τὸ τρίτον (b) τῆς ὑποστάσεως αὐτοῦ πάσης (c) (2).

64. Ὁ φθείρων κόρην πρὸ τοῦ γενέσθαι ιβ̄ ἐτῶν δεινοκοπείσθω, διδοὺς τῇ φθαρείσῃ κόρῃ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ πάσης (d) (3).

65. Ἐάν τις πειράσηται ἔχειν δύο γυναῖκας οὐ νόμῳ ἀλλὰ κατὰ τὸ θέλημα αὐτοῦ, καλῶς ὑπομένει τὸ ἔγκλημα τῆς μοιχείας, καὶ οὕτως τιμωρηθήσεται ὡς μοιχός. ἡ δὲ β′ γυνή, ἐὰν οὐκ ἐγίνωσκεν ὅτι ἔχει γυναῖκα, συγγνωσθήσεται (e)· δῆλον ὅτι οὐκ ἐν γνώσει πεποίηκεν (4).

66. Ἐὰν γυνὴ ἔγκυος οὖσα ἐπιβουλεύσῃ τῇ ἰδίᾳ γαστρὶ διὰ τὸ

(a) τὸ ἥμισυ - εἴη] *Mancano queste parole nel Cod.* (b) *Cod.* τὸ τρί‖τὸ τρίτον (c) *Cod.* πάσις (d) *Cod.* πάσις *Questo cap. è ripetuto nel Cod. colle scorrezioni* φθαρείσι κόρι *e* πάσις (e) *Cod.* συγνωσθήσεται

autem egens est, (substantiae suae medietatem; si vero) pauperrimus est, verberatus ac tonsus expellatur.

63. Qui puellae vim affert eamque polluit, nasum perdat eique det tertiam omnis substantiae suae partem.

64. Qui puellam ante .XII. annos corrumpit, nasum amittat et compressae puellae medietatem omnis substantiae suae tradat.

65. Si quis ausus fuerit duas habere uxores, non lege sed suo arbitrio, recte adulterii crimini subiacet et ita veluti adulter punietur: altera vero mulier, si uxorem ei esse ignoraverit, veniam merebitur; non enim sciendo fecit.

66. Si mulier praegnans ventri suo insidias struxerit, ut in-

(1) *Proch. Bas.* XXXIX, 65: « Ὁ « παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν « προαιρέσει, ἀγνοούντων δὲ γονέων, τῆς « πράξεως διαγινωσκομένης, εἰ μὲν θέλῃ « αὐτὴν λαβεῖν εἰς γυναῖκα, καὶ συναι- « νέσωσι καὶ οἱ γονεῖς, γενέσθω τὸ « συνάλλαγμα. εἰ δὲ ἓν μέρος « τῶν γονέων, τουτέστιν ἑκατέρου « προσώπου, οὐ θελήσει » &c. Le riduzioni che fa il nostro sono a danno della precisione e dell'esattezza.

(2) Cf. *Proch. Bas.* XXXIX, 66.

(3) Cf. *Proch. Bas.* XXXIX, 67.

(4) *Proch. Bas.* XXXIX, 70: « Ὁ « δύο γυναῖκας ἔχειν πειραθείς, οὐ νόμῳ « ἀλλὰ φάκτῳ καὶ προαιρέσει, καλῶς ὑπο- « στήσεται τὸ τῆς μ. ἔ. ἡ δὲ ὕστερον αὐτῷ « γαμηθεῖσα » &c.

ἐκτρῶσαι καὶ ἀποῤῥῖψαι τὸ ἐν τῇ γαστρὶ αὐτῆς βρέφος, τυπτομένη ἐξοριζέσθω (1).

67. Οἱ συναπτόμενοι πρὸς γάμον ‖ ἢ κατὰ ἄλλον τρόπον σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον (a) ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα συναφθῇ, ἢ ἀνεψιὸς εἰς τὴν γυναῖκα τὴν γινομένην τοῦ θείου αὐτοῦ, εἴτε θεῖος εἰς τὴν γινομένην γυναῖκα τοῦ ἀνεψίου αὐτοῦ, κελεύομεν ἵνα διαχωρισθῶσι καὶ τυφθῶσι (2). c. 69 A

68. Ἐὰν δὲ οἱ ἀσελγεῖς, τουτέστι καὶ ὁ ποιῶν τὴν ἀσέλγειαν, ἢν καὶ οἱ σοδομῖται (b), καὶ ὁ ὑπομένων, ξίφει τιμωρείσθωσαν, εἰ μὴ ἄρα ὁ πεπονθὼς μικρότερος ὑπάρχει τῶν ιβ ἐτῶν· τότε γὰρ ἀπαλλάττεται τῆς τοιαύτης ποινῆς διὰ τὸ ἐνδεὲς τῆς ἡλικίας (3).

69. Οἱ ἀλογευόμενοι, τουτέστι κτηνοβάται (c), καυλοκοπείσθωσαν (4).

(a) *Così il Cod.* (b) *Cod.* σοδομῆται (c) *Cod.* κτινοβάται

fantem in ventre exstantem extruderet et expelleret, verberata relegetur.

67. Si nuptiis iungantur aut alio modo carnaliter cöeant fratrum sororumque filii et qui ex iis nati sunt liberi, aut pater et filius cum matre et filia iungantur, aut fratris sororisve filius cum ea, quae fuerat thii sui uxore, aut thius cum ea, quae fuerat consobrini sui uxore, separari ac verberari iubemus.

68. Lascivientes, h. e. et qui lasciviam committit, quam et sodomitae (committunt), et qui patitur, gladio puniantur, nisi forte qui passus est .XII. annis minor sit, tunc enim hac poena ob aetatis defectum absolvitur.

69. Obbrutescentes, h. e. pecora ineuntes, pene truncantur.

(1) Cf. *Proch. Bas.* XXXIX, 71: qui mancano le parole da « ἀποῤῥῖψαι » a « βρέφος ».

(2) *Proch. Bas.* XXXIX, 72: « ... ἢ « καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυ- « γατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο « ἀδελφάς, ἢ ἀνεψιὸς εἰς τὴν τοῦ « θείου γυναῖκα, ἢ δύο ἀδελφοὶ « εἰς μητέρα καὶ θυγατέρα, εἰ ἀνε- « ψιὸς εἰς τὴν γεγεννημένην τοῦ θείου γυ- « ναῖκα, εἴτε θεῖος εἰς τὴν γεγεννημένην « τοῦ ἀνεψιοῦ γυναῖκα » &c. Si noti infine il « κελεύομεν » aggiunto dal nostro.

(3) *Proch. Bas.* XXXIX, 73: « Οἱ « ἀσελγεῖς, ὅ τε ποιῶν καὶ ὁ πάσχων » &c.

(4) Cf. *Proch. Bas.* XXXIX, 74.

70. Ὁ βουλόμενος καῦσαι τὴν καλάμην τοῦ ἰδίου χωραφίου [a]
c. 69 B καὶ ἐμβάλλων ‖ ἐν αὐτῷ πῦρ, τὸ δὲ πῦρ ἐξαφθὲν κατακαύσει τὰ ἀλλότρια χωράφια ἢ τὸν ἀλλότριον ἀμπελῶνα, δεῖ τὸν ἀκροατὴν ἐξετάζειν, ὡς [b] εἰ μὲν ἀνῆψε τὸ πῦρ ὑπὸ ἀπειρίας ἢ ῥαθυμίας τοῦ ἀνάψαντος αὐτό, ἢ οὐδὲν ἐφύλαξε τοῦ μὴ διελθεῖν τὴν φλόγα, καὶ οὕτως ἐμπρησθείσης [c] τῆς ἀλλοτρίας ὕλης, ὡς ἀμελήσας καὶ ῥαθυμήσας καὶ καταφρονήσας καταδικάζεται εἰς τὸ ποιῆσαι τὸ ἀζήμιον τῷ δεσπότῃ τοῦ χωραφίου· εἰ δὲ σαφῶς ἐκεῖνος μὲν παρεφυλάξατο καὶ προσπεσὼν ἄνεμός τις δεινὸς καὶ δυνατὸς μὴ προσδοκώμενος ἔφερε τὴν φλόγα τοῦ πυρὸς ἐπὶ τὸν βλαβέντα, ἀζήμιος ὑπάρχει ὁ τὸ πῦρ ἀνάψας [d] (1).

71. Ἐὰν ἐμπυρισθῇ οἰκός τινος ἀπό τινος τυχηροῦ [e] πυρὸς κἀκεῖθεν ἐκδραμὸν τὸ πῦρ ἐμπρήσει [f] τὰ πλήσιον τοῦ καιέντος οἴκου,
c. 69 C ἀζήμιος ὑπάρ‖χει ὁ καταρχὰς ἐμπρησθείς (2).

(a) *Cod.* χοραφίου (b) *Così il Cod. Forse è da correggere* καὶ (c) *Cod.* ἐμπρισθείσης (d) *Cod.* ἀνάψαι (e) *Cod.* τυχιφοῦ (f) *Cod.* ἐμπρύσει

70. Si quis agri sui stipulam incendere voluerit et ignem in eum iniecerit, ignis autem incensus alienos agros exusserit vel alienam vineam, oportet ut iudex inquirat; et si quidem ignis imperitia aut negligentia illius, qui eum accensit, incenderit, neque caverit ille ne flamma evagaretur, atque ita aliena materia incensa sit, veluti negligens imperitus et contemtor ad indemnem agri dominum faciendum damnatur: sin vero diligenter ille sese gesserit et inopinanter ventus vehemens exortus flammam ignis in laesum agrum transtulerit, indemnis est qui ignem accendit.

71. Si cuius domus fortuito aliquo igni accensa sit indeque ignis excurrens adiacentia incensae domui incenderit, impunis est qui primo exarsit.

(1) *Proch. Bas.* XXXIX, 75: « ... δεῖ « τ. ἀκροατὴν ἐξετάζειν, καὶ εἰ μὲν ἀπει- « ρίᾳ ἢ ῥαθυμίᾳ τοῦ ἀνάψαντος τὸ πῦρ « ἀνῆψεν, εἰ μὴ παρεφυλάξατο δυνάμει « τοῦ προελθεῖν τὴν φλόγα περαιτέρω, ὡς « ἀμελήσας ὁ τοιοῦτος καὶ ῥαθυμήσας κα- « ταδικάζεται. [Manca qui il conte- « nuto della condanna, aggiunto dal « nostro.] εἰ δὲ πάντα μὲν ἐκεῖνος πα- « ρεφυλάξατο, ἀθρόον δὲ πνεῦμα προσπεσὸν « τὴν τοῦ πυρὸς φλόγα ἐπὶ τὸν βλαβέντα « μετεκόμισεν, ἀνεύθυνος ὁ τὸ πῦρ ἀνά- « ψας διατελεῖ »

(2) *Proch. Bas.* XXXIX, 76: « Ἐὰν « ἀπό τινος τύχης οἰκός τινος ἐμπρησθῇ « κἀκεῖθεν τὸ πῦρ ἐκδραμὸν τὰ συμπα- « ρακείμενα ἐμπρήσῃ, οὐδὲν ὑπόκειται ὁ « καταρχὰς ἐμπρησθείς ».

72. Εἴ τις ἐλεύθερος ἢ δοῦλος δώσει [a] ποτὸν ἐπὶ οἱαδήποτε [b] προφάσει, εἴτε γυνὴ ἀνδρί, εἴτε ἀνὴρ γυναικί, εἴτε δούλη δεσποίνῃ, εἴτε δοῦλος δεσπότῃ, καὶ διὰ τῆς τοιαύτης προφάσεως περιπέσῃ [c] ἐν ἀσθενείᾳ ὁ πιὼν ποτόν, καὶ συμβῇ αὐτὸν ἐκ τούτου καταῤῥεῦσαι [d] καὶ ἀποθανεῖν, ξίφει δικαίως τιμωρείσθω [1].

73. Οἱ ποιοῦντες τὰ λεγόμενα φυλακτὰ τὸ δοκεῖν εἰς [e] ὠφέλειαν τῶν ἀνθρώπων, οὗτοι δημευόμενοι, ἤγουν τὰ πράγματα αὐτῶν τοῦ δημοσίου λαβόντος, ἐξοριζέσθωσαν [2].

74. Ὁ ἑκουσίως φονεύων τινά, οἵας ἂν εἴη ἡλικίας, ξίφει τιμωρείσθω· ὁ δὲ φονεύων ἀκουσίως, ἐξοριζέσθω [3].

75. Οὔτε ἴνφανς, ἤγουν ὁ ἑπταετής, οὔτε ὁ μαινόμενος φονεύων ὑπόκειται τῷ θανάτῳ [4].

76. Ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ τοῦ φόνου τοῦ ἰδίου ‖ παιδός, c. 69 D
καὶ γνωρισθῇ ὡς [f] ὅτι κατὰ συκοφαντίαν ἐκίνησεν, οὐκ ἀτιμοῦται [5].

(a) *Cod.* δόσει (b) *Cod.* ἐπιἀδίποτε (c) *Cod.* περιπίσει (d) *Cod.* καταρρῶσαι (e) *Cod.* ὕ εἰς (f) *Cod.* ὦ

72. Si quis liber aut servus potionem sub qualicumque praetextu dederit, sive mulier viro, sive vir mulieri, sive ancilla dominae, sive servus domino, et hac de causa qui potionem biberit in morbum inciderit eumque inde languescere ac mori contigerit, gladio recte puniatur.

73. Qui ita dicta amuleta faciunt per speciem ad hominum utilitatem, hi, bonis publicatis, h. e. fisco res eorum accipiente, expellantur.

74. Qui sponte aliquem occidit, cuiuscumque sit aetatis, gladio puniatur; qui autem non voluntarie occidit, expellatur.

75. Neque infans, idest septennis, neque furiosus, si occidat, morti subiacet.

76. Si quem pater de filii sui caede accusaverit et eum calumniose egisse ostendatur, infamia non notatur.

(1) Cf. *Proch. Bas.* XXXIX, 77.
(2) Cf. *Proch. Bas.* XXXIX, 78.
(3) Cf. *Proch. Bas.* XXXIX, 79 e 86. I due luoghi del *Prochiron Basilii* si trovano avvicinati anche nel più volte citato codice Parigino 1384: cf. ZACHARIAE, *Fragm. vers. gr. leg. Roth.* p. 17.
(4) Cf. *Proch. Bas.* XXXIX, 80.
(5) Cf. *Proch. Bas.* XXXIX, 81.

77. Ὁ πλήττων τινὰ μετὰ ξίφους, ἐὰν φονεύσῃ, ξίφει τιμωρείσθω· εἰ δὲ οὐ τελευτήσει ὁ πληγείς, ὁ τὴν πληγὴν ποιήσας χειροκοπείσθω, διότι ὅλως ἐτόλμησε [a] δοῦναι μετὰ ξίφους [1].

78. Ἐὰν συμβῇ γενέσθαι μάχην μεταξὺ δύο καὶ θάνατος ἐπέλθοι ἐκ τούτου, τηρείτωσαν [b] οἱ δικασταὶ τὰ ὄργανα δι' ὧν ἐγένετο ὁ θάνατος, καὶ εἰ εὕρωσι τὸν φόνον γεγενημένον διὰ ξύλων τελείων ἢ λίθων μεγάλων ἢ λακτισμάτων, χειροκοπείτωσαν [c] τὸν ποιήσαντα τὸν φόνον· εἰ δὲ συμβῇ γενέσθαι τὸν θάνατον δι' ἐλαφροτέρων ὀργάνων, τυπτέτωσαν τοῦτον καὶ ἐξοριζέσθωσαν [2].

79. Ἐάν τις ἐν μάχῃ τύψῃ μετὰ χειρὸς καὶ φονεύσει, τυπτόμενος ἐξοριζέσθω [3].

80. Ἐάν τις τύψῃ τὸν ἴδιον δοῦλον λώροις ἢ ῥάβδοις, καὶ ἐκ
c. 70 A τούτου συμβῇ ἐκεῖνον ‖ τελευτῆσαι, οὐ καταδικάζεται ὡς ἀνδροφόνος [d]· εἰ δὲ ἐβασάνισεν αὐτὸν ἀμέτρως ἢ ἐφόνευσε φαρμάκῳ ἢ προσέκαυσε, τιμωρεῖται ὡς φονεύς [4].

(a) *Cod.* ἐτόλμισε (b) *Cod.* τηρήτωσαν (c) *Cod.* χειροκοπήτωσαν (d) *Cod.* ἀνδροφόνως

77. Qui gladio quem percutit, si occidat, gladio puniatur; si percussus non moriatur, qui plagam intulit manum amittat, cum omnino gladio ferire ausus sit.

78. Si rixam inter duos fieri et inde mortem sequi contingat, iudices instrumenta, quibus mors illata, examinent, et si inveniant homicidium iustis fustibus aut gravibus saxis aut calcibus perpetratum esse, homicidae manum abscindant; quod si levioribus instrumentis mortem illatam esse contigerit, eum verberent et expellant.

79. Si quis in rixa manu percusserit et occiderit, verberatus exilio mulctetur.

80. Si quis proprium servum loris aut virgis verberaverit et ex hoc illum mori contigerit, non condemnatur ut homicida. Sed si eum immodice cruciaverit vel veneno peremerit vel exusserit, ut homicida punitur.

(1) Cf. *Proch. Bas.* XXXIX, 82.

(2) *Proch. Bas.* XXXIX, 83: « Μάχης μεταξύ τινων γενομένης, ἐὰν συμβῇ « θάνατον προελθεῖν, τηρειτωσαν τὰ ὄρ- « γανα οἱ ἀκροαταί, δι' ὧν ἐπράχθη ὁ θά- « νατος... εἰ δὲ δι' ἐλαφροτέρων ποιν ῶν « συμβῇ γενέσθαι τὸν θάνατον » &c.

(3) Cf. *Proch. Bas.* XXXIX, 84.

(4) Cf. *Proch. Bas.* XXXIX, 85.

81. Ὁ μετακινήσας καὶ μεταλλάξας τοὺς ἀρχαίους ὅρους ἢ καὶ σκοπελίζων βίᾳ τὸν ἀγρόν τινος, τουτέστι συνάγων λίθους καὶ χῶμα καὶ εἴ τι ἄλλο, ὡς βουλόμενος ποιῆσαι ἀπὸ ἀγροῦ βουνόν, κεφαλικῶς τιμωρεῖται (1).

82. Ἐὰν δοῦλος ἢ δούλη ἀποκινήσῃ ἀλλότριον ὅρον δόλῳ, μὴ γινώσκοντος τὸ πρᾶγμα τοῦ δεσπότου αὐτῶν, κεφαλικῇ τιμωρίᾳ ὑπόκεινται (2).

83. Οἱ ἀνατρέποντες τὰ ὁροθέσια τῶν ἀγρῶν, ἐὰν ἐπίσημοι καὶ περίφημοι ἄνδρες ὑπάρχωσιν καὶ τολμῶσι τοῦτο ποιῆσαι διὰ ἴδιον κέρδος, διηνεκῶς ἐξοριζέσθωσαν (3).

84. Κελεύομεν τοὺς μετακινοῦντας τοὺς ἀρχαίους ‖ ὅρους δημεύεσθαι καὶ ἐξορίζεσθαι (4). c. 70 B

85. Ὁ ἐπιβαίνων κατὰ βίαν ἀγρόν τινος, κἂν ἐκ τοῦ ἰδίου μέρους ἀναιρεθῇ τις (a) κἂν ἐκ τοῦ ἐναντίου, ὡς ἀνδροφόνος ξίφει τιμωρείσθω (5).

(a) τις] *Parola supplita.*

81. Qui antiquos terminos transponit atque transmutat aut vi agrum alienum σκοπελίζει, h. e. lapides et terrenum et si quid aliud congerit, tamquam collem ex agro facere volens, capitaliter punitur.

82. Si servus aut serva terminum alienum dolo moverint, domino eorum insciente, capitali poenae subiacent.

83. Qui terminos finium causa positos moverint, si celebres ac splendidiores personae sunt, quae ad lucrum captandum id admiserunt, perpetuo relegentur.

84. Iubemus eos, qui antiquos terminos movent, publicari et expelli.

85. Si quis violenter alienum agrum ingreditur, sive ex sua sive ex adversarii parte (quis) occidatur, ut homicida gladio feriatur.

(1) *Epitome legum* (ZACHARIAE, *I. G.-R.* VII), XL, 45: « Ὁ ἀρχαίους ὅρους « μετακινήσας ἢ καὶ τὸν ἀγρόν τινος βίᾳ « σκοπελίζων κεφαλικῶς τιμωρείσθω ». Sulla voce « σκοπελίζειν » cf. *Dig.* XLVII, 11, 9.

(2) *Epit. leg.* XL, 46: « Ἐὰν δοῦλος « ἢ δούλη ἀγνοίᾳ τοῦ δεσπότου ἀλλότριον « ὅρον δόλῳ ἀποκινήσει, κεφαλικῶς τιμω- « ρείσθω ».

(3) *Epit. leg.* XL, 47: « Οἱ τὰ ὁρο- « θέσια τῶν ἀγρῶν ἀνατρέποντες, ἐὰν « ἐπίσημοί εἰσιν καὶ διὰ κέρδος ἴδιον τοῦτο « τολμῶσιν, τυπτόμενοι διηνεκῶς ἐξο- « ριζέσθωσαν ».

(4) *Epit. leg.* XL, 48: « Μηδεὶς τοῖς « ἀρχαίοις ἀποκεχρήσθω ὅροις δημεύ- « σει αὐτοῦ καὶ ἐξορίᾳ ὑποκειμένου ».

(5) *Epit. leg.* XL, 4: « Ὁ κατὰ βίαν « ἀγρόν τινος ἐπιβαίνων, κἂν ἐκ τοῦ οἰ-

86. Μηδεὶς ἀγέσθω τὴν γαμετὴν τοῦ ἰδίου ἀδελφοῦ, κἂν ἔτι παρθένος ὑπάρχει, οὐδὲ γὰρ τῇ συναφείᾳ ὁ γάμος, ἀλλὰ τῇ διαθέσει συνέστη. οὐδὲ παῖδες ὑπάρχουσιν οἱ ἐκ τῶν τοιούτων γάμων τεχθέντες. τοῦτο δὲ κελεύομεν γενέσθαι ἐπὶ τῶν ὀρθοδόξων καὶ οὐχὶ ἐπὶ τῶν Αἰγυπτίων τῶν τοῦτο ποιούντων (1).

87. Ἐὰν ἡ γυνὴ ἐπεβούλευσε τρόπῳ τινὶ κατὰ τοῦ ἀνδρὸς αὐτῆς, ἢ συνειδυῖα (a) τοῖς πράξασιν αὐτὸ οὐκ ἐφανέρωσεν, ἢ ἐὰν παρὰ γνώμην τοῦ ἰδίου ἀνδρὸς συμποσιάσῃ ἀνδράσιν ἐξωτικοῖς ἢ συλλούσεται, ἢ ἐὰν βουλομένου τοῦτο (b) μηδαμῶς τοῦ ἀνδρὸς ἐξώκοιτος γίνεται χωρὶς τῶν
c. 70 c ἰδίων γονέων, χωριζέσθω (2).

88. Ὁ δεδωκὼς δόλῳ φάρμακα ἀντὶ ἰατρείας, ὑπόκειται (c) παρέχων τὸ ἔργον, ὡς αἴτιον (d) θανάτου· καὶ ὁ προπετῶς φάρμακα διδούς, ὡς γόης (3).

(a) *Cod.* συνειδῦι (b) *Cod.* τοῦ (c) *Cod.* ὑπὸ καίται (d) *Così il Cod.*

86. Nemo fratris sui coniugem sibi matrimonio copulet, licet adhuc virgo sit; non enim concubitu, sed affectu nuptiae consistunt. Neque liberi sunt qui ex huiusmodi nuptiis procreati. Idque observari iubemus ab orthodoxis et non ab Aegyptiis, qui hoc faciunt.

87. Si quocumque modo mulier in virum suum insidias struxerit, aut conscia iis, qui hoc facerent, ei non manifestaverit, aut si contra viri sui voluntatem cum extraneis viris convivetur aut lavetur, aut si invito marito foris pernoctaverit praeterquam apud parentes, separetur.

88. Qui dolo venenum pro medicamento dedit, tamquam causam mortis praestans in factum tenetur; et qui perperam medicamentum dedit, ut maleficus.

« κείου μέρους αὐτοῦ ἀναιρεθῇ τις κἂν ἐκ « τοῦ ἐναντίου, αὐτὸς ὡς ἀνδροφόνος τὴν « κεφαλὴν ἀποτεμνέσθω ».

(1) *Ecloga ad Proch. mut.* (ZACHARIAE, *I. G.-R.* IV), XXVIII, 15: « ... οὐδὲ παῖδες οἱ ἐντεῦθεν τικτόμενοι· « ὑφεξῃρημένων τῶν Αἰγυπτίων τῶν ἤδη « τοῦτο ποιησάντων ». Questa disposizione si trova anche nell' *Appendix Eclogae* VII, in ZACHARIAE, *Ἀνέκδοτα*, p. 187.

(2) *Appendix Ecl.* XXXV (loc. cit.): « Ἐὰν οἱωδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ « τοῦ ἀνδρὸς ἐπιβουλεύσει » &c.

(3) *Epitome leg.* XLV, 18: « Ὁ « φάρμακα ἀντὶ ἰατρείας δόλῳ διδωκὼς

89. Ὁ μάγος κολάζεται, κἂν μηδὲν ποιῶν [a], κατακρίνεται ἐξ αὐτοῦ τοῦ [b] εἰδέναι [1].

90. Οἱ μάγοι θηρίοις παραδιδόσθωσαν [2].

91. Ἐὰν γυνή τις λάβοι χρήματα παρὰ τῶν ὑποκαταστάτων κληρονόμων, τοῦ ἀμβλῦναι καὶ φονεῦσαι τὸν ἐν τῇ γαστρὶ αὐτῆς ὄντα κληρονόμον, καὶ παρασκευάσει τοῦτον ἐκτρωθῆναι διά τινος φαρμάκου, κεφαλικῶς τιμωρεῖται [3].

92. Ἐπειδὴ εὑρίσκονταί τινες οὕτως ἀσεβεῖς, ὥστε καὶ ἐν τοῖς σεβασμίοις οἴκοις τολμᾶν τὰ ἀσεβήματα ποιῆσαι, καὶ ἐκεῖ περὶ ἁμαρτημάτων βουλεύεσθαι, ὅπου οἱ τὸν Θεὸν φοβούμενοι συνήθειαν ἔχου||σιν c. 70 D
ἐξαιτεῖν τὴν συγχώρησιν τῶν ἁμαρτημάτων [c], κελεύομεν τοίνυν, ὡς, εἴ τις τοιοῦτος εὑρεθῇ ἐν τόποις εὐαγέσι καὶ ἐν σεβασμίοις ναοῖς σὺν ἀλλοτρίᾳ γαμετῇ, δι' ἣν ἔχει μέμψιν καὶ ὑπόνοιαν οὕτως [d] μετὰ τὰς τρεῖς μαρτυρίας, ὡς εἴρηται, ἄδειαν εἶναι τῷ ἀνδρὶ αὐτῆς παραδιδόναι ἀμφότερα τὰ πρόσωπα τῷ ἐκδίκῳ καὶ κριτῇ τῆς μεγάλης ἐκκλησίας, ἢ

(a) ποιῶν] *Parola supplita. Cf. Epit. leg. XLV, 39.* (b) τοῦ] *Anche questa parola manca nel Cod.* (c) *Cod.* ἁμαρτιμάτων (d) *Cod.* οὗτος

89. Magus, licet nihil (faciat), punitur ex hoc solo, quod talis videatur.

90. Magi bestiis obiciantur.

91. Si qua mulier pecuniam ab institutis heredibus accipiat, ut heredem in ventre suo exstantem perderet ac necaret, eumque medicamine aliquo abigere tentaverit, capitaliter punitur.

92. Quoniam nonnulli adeo impii inveniuntur, ut etiam in venerabilibus domibus scelera committere audeant et ibi de delictis consilia capere, ubi qui Deum timent peccatorum veniam petere solent, iubemus igitur, si quis talis in sacris locis et in venerabilibus templis cum aliena uxore, de qua in suspicione est, inveniatur, post tres dictas attestationes, marito eius licere utramque personam defensori et iudici magnae ecclesiae aut aliis cle-

« ὑπόκειται τὸ ἔργον ὡς αἰτίαν θανάτου « παρασχών· καὶ ὁ προπετῶς δοὺς φάρ- « μακον ».

(1) *Epit. leg.* XLV, 39: « Ὁ μ., κἂν « μηδὲν ποιῶν, ἐξ αὐτοῦ τοῦ εἰδέναι κολά- « ζεται ».

(2) Cf. *Epit. leg.* XLV, 40.

(3) Cf. *Epit. leg.* XLV, 17.

τοῖς ἄλλοις κληρικοῖς, ὥστε † ἐν τῷ [a] μὴ τιμωρεῖσθαι τούτους μέχρις ὅτου μάθοι τοῦτο ὁ ἄρχων τοῦ τόπου καὶ πέμψοι τούτους πρὸς τὸν ἐπίσκοπον τῆς πόλεως, ὡς ἂν παραδώσῃ τούτους εἰς τιμωρίας ἃς ὁ νόμος περὶ μοιχῶν κελεύει, οἵτινες νόμοι ἀπαγορεύουσιν ἵνα οἱ μοιχοὶ δεφενδευθῶσι παρὰ [b] τῶν ἁγιωτάτων ἐκκλησιῶν [1], μηδεμίαν αἰτίαν ἔχοντος τοῦ δικαστοῦ ζητῆσαι ἀπόδειξιν τῆς μοιχείας, εἰ μὴ τὰς τρεῖς
c. 71 A διαμαρτυρήσεις, ἃς ἀνωτέρως ‖ εἰρήκαμεν, ὧν δεικνυμένων πᾶσι τρόπαις ἐκεῖνοι ὡς μοιχοὶ τιμωρείσθωσαν. οὐδὲ γὰρ ὀφείλουσι τὰ τοιαῦτα πρόσωπα ἔχειν ἀσφάλειαν καὶ βοήθειαν παρὰ τοῦ σεβασμίου τόπου, ὅνπερ κατεφρόνησαν διὰ μόνου τοῦ ἰδίου μύσους. εἰ γὰρ οἱ ἡμέτεροι [c] νόμοι οὐ συγχωροῦσι τοὺς ἁρπαγὰς γυναικῶν [d] καὶ τοὺς μοιχοὺς προσφεύγοντας εἰς τοὺς εὐκτηρίους οἴκους ὑπ' αὐτῶν δεφενδεύεσθαι καὶ ἐκδικεῖσθαι, πῶς συγχωρήσομεν εὑρίσκειν τινὰ βοήθειαν ἐκ τῶν ἐκκλησια-

(a) *Il testo è qui evidentemente corrotto. Cf. Epanag. XL, 48.* (b) *Cod.* περὶ (c) *Cod.* γὰρ οἰμέτεροι (d) *Cod.* γυναίκας

ricis tradere, ita ut non puniantur, donec loci magistratus id cognoscat hosque ad urbis episcopum mittat, ut illos poenis tradat, quas lex de adulteris statuit, quae leges adulteros a sanctissimis ecclesiis defendi interdicunt; nullam licentiam iudice habente adulterii probationem requirendi, nisi tres attestationes, quas supra diximus; quibus ostensis, omnibus modis illi sicut adulteri punientur. Neque enim debent huiusmodi personae securitatem et auxilium in venerabili loco habere, quem per suum scelus despexere: si leges enim nostrae non sinunt illos, qui mulieres rapiunt et adulteros ad domus orationis confugientes, ab iis defendi et vindicari, quomodo permittemus auxilium aliquod ex ecclesia-

(1) *Epanag.* XL, 48: « Ἐπειδὴ δὲ « οὕτως εὑρίσκονταί τινες ἀσεβεῖς, ὥστε « ἐν σεβασμίοις οἴκοις τολμᾶν εἰς τὰ τοι- « αῦτα ἑαυτοὺς ἐπιῤῥίπτειν μύσει, κἀκεῖ « περὶ ἁμαρτημάτων βούλεσθαι πράξεως, « ἔνθα τῶν ἁμαρτιῶν τοῖς ἀνθρώποις ἡ « ἄφεσις πραγματεύεται, κελεύομεν, ὡς « εἴ τις ἐν τόποις εὐαγέσιν ἀλλοτρία γα- « μετῇ φωραθῇ μετὰ τὰς τρεῖς ὡς εἴρηται « διαμαρτυρίας διαλεγόμενος, ἄδειαν εἶναι « τῷ ταύτης ἀνδρὶ ἑκάτερον πρόσωπον τῷ « ἐκδίκῳ τῆς ἐκκλησίας ἢ τοῖς ἄλλοις « κληρικοῖς παραδιδόναι, ὥστε τῷ αὐτῶν « κινδύνῳ κεχωρισμένως τούτους φυλάττε- « σθαι, μέχρις ὅτου ὁ τοῦ τόπου ἄρχων « μαθὼν τὸ πραχθὲν πέμψῃ πρὸς τὸν « ἐπίσκοπον τῆς πόλεως, ὥστε αὐτῷ τού- « τους παραδοθῆναι, τιμωρίας ὀφείλοντας « ὑποστῆναι κατὰ τοὺς νόμους, οἱ ἀπαγο- « ρεύουσι τοὺς μοιχοὺς ἐκ τῶν ἁγιωτάτων « ἐκκλησιῶν ἐκδικεῖσθαι ».

στικῶν ὅρων ἐκείνους, οἵτινες πράττειν σπουδάζουσι τοιοῦτον μύσος ἐν αὐτῇ τῇ ἁγίᾳ ἐκκλησίᾳ; ἀλλὰ προστάσσομεν πᾶσι τρόποις τούτους παραδίδοσθαι τοῖς ἄρχουσι καὶ τιμωρίαν ὑπομένειν, ἧς ἄξιοι ὑπάρχουσιν οἱ τοὺς ἁγιωτάτους τόπους μολύνειν τολμῶν||τες. ὁ γὰρ ἁμαρτάνων c. 71 B
ἐκεῖ, τουτέστιν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ποῦ σωτηρίαν αἰτήσει; (1)

93. Δύο γαμετὰς οὐδεὶς δύναται ἔχειν, ἀλλ' ὁ τοῦτο τολμήσας τυπτέσθω, ἐκδιωκομένης τῆς δευτέρας μετὰ τῶν ἐξ αὐτῆς τεχθέντων παίδων (2).

sticis terminis invenire eos, qui tale scelus in ipsa sancta ecclesia perpetrare student? At statuimus ut hi omnibus modis tradantur iudicibus et poenam subeant, qua digni sunt, qui sanctissimos locos violare audent. Qui ibi enim delinquit, h. e. in sacra ecclesia, ubi salutem petet?

93. Nemo duas uxores habere potest, sed qui hoc facere audet verberetur et ab altera separetur una cum liberis ex ea susceptis.

(1) Loc. cit.: « ... μηδεμίαν ἐνταῦθα « ἑτέραν τοῦ δικαστοῦ ζητοῦντος περὶ τῆς « μοιχείας ἀπόδειξιν, εἰ μὴ τὰς τρεῖς, ὡς « ἀνωτέρω εἰρήκαμεν, διαμαρτυρίας· τού- « των γὰρ ἀποδεικνυμένων πᾶσι τρόποις « ἐκεῖνοι ὡς μοιχοὶ τιμωρείσθωσαν. οὐδὲ « γὰρ ὀφείλει τὰ τοιαῦτα πρόσωπα σεβα- « σμίου οἴκου ἔχειν ἀσφάλειαν, ὅνπερ αὐ- « τοὶ διὰ τοῦ ἰδίου μύσους κατεμόλυναν· « εἰ γὰρ τοὺς ἀλλαχόσε ἁρπαγὰς γυναι- « κῶν καὶ μοιχείας πλημμελοῦντας εἰς « εὐκτηρίους οἴκους προσφεύγοντας ὑπ' « αὐτῶν ἐκδικεῖσθαι οἱ ἡμέτεροι νόμοι οὐ « συγχωροῦσι, πῶς ἐκείνοις τοῖς ἐν αὐτῇ « τῇ ἐκκλησίᾳ τοιαῦτα μύση σπουδάζουσι « διαπράττεσθαι συγχωρήσομέν τινα βοή- « θειαν ἐκ τῶν ἐκκλησιαστικῶν εὑρίσκειν « ὅρων; ἀλλὰ πᾶσι τρόποις τούτους τοῖς « ἄρχουσι παραδίδοσθαι καὶ τιμωρίαν ὑπο- « μένειν, ἧς ἄξιοι καθεστήκασιν οἱ τοὺς « ἁγίους τόπους εἰς βεβήλωσιν κατάγειν « ἀποτολμῶντες· ὁ γὰρ ἐκεῖσε ἁμαρτά- « νων ποῦ σωτηρίαν αἰτήσεται; » Questo luogo dell'*Epanag.*, che non ha corrispondenza nel *Proch. Bas.*, è preso dalla Novella 117, 15, 1. Se il nostro ha alcune parole e frasi, che si avvicinano più al testo originario della Novella, anzichè a quello dell'*Epanag.*, non bisogna dedurne che il redattore del nostro *Prochiron* tenesse presente la Novella medesima e attingesse da quella direttamente, come mostreremo nella nota seguente.

(2) *Epanag.* XL, 63: « ... διὸ ὁ « τοῦτο τολμῶν ποιεῖν τυπτέσθω, ἐκδιω- « κομένης τῆς ἐπισάκτου μετὰ τῶν ὡς « εἰκὸς ἐξ αὐτῆς τεχθέντων παίδων ». Gli ultimi 13 capi (81-93), che il nostro aggiunge al tit. XXXIX del *Proch. Bas.*, non furono verosimilmente attinti in modo diretto dai fonti, che abbiamo per ciascuno indicati. Essi appartengono a quei frammenti, che s' incontrano messi insieme nelle collettanee dei mss. Una bella prova ne abbiamo nel cod. Parig. 1384, nel quale si vedono appunto avvicinati taluni dei frammenti, che qui il nostro riferisce, e fra gli altri quello corrispondente all'*Epanag.* XL, 48, ch'è però riferito secondo il testo originario della Nov. 117, 15, 1, e serve assai opportunamente a mostrare, come il nostro si servisse di queste collezioni di frammenti per le addizioni che faceva ai manuali. Colla c. 141 A finisce nel cod. cit. la prima serie

Τίτλος λε (a) (1).

Περὶ διαμερισμοῦ σκύλων, ἤγουν πραίδας.

1. Οἱ ποιήσαντες τρόπαιον κατὰ τῶν πολεμίων, σκύλων τινῶν εὑρισκομένων, ὡς εἰώς λαβόντος τοῦ δημοσίου τὸ μέρος αὐτοῦ, ἃ

(a) *Di mano più recente, nel margine interno.*

Titulus XXXV.

De partitione spoliorum, scilicet praedae.

1. Qui tropaeum de hostibus fecerunt, ex spoliis, uti solet, inventis fisco partem suam accipiente, quod reliquum est praefecti

della versione delle leggi di Rotari; indi seguono taluni altri frammenti e poi (cc. 141 B, 142 A-B) quelli che ci riguardano e che qui riferisco secondo la lezione assai errata del codice, segnando al principio di ciascuno il capitolo del nostro al quale corrisponde.

[cap. 88.] « Ὁ φάρμακα ἀντὶ ἰατρίας « δοῦλω [l. δόλῳ] δεδωκὸς ὑπόκειται τῷ « ἔργω ὡς αἰτία θανάτου παρασχῶν. καὶ « ὁ προπετῶς φάρμακα δοὺς ὡς γόης ».

[cap. 91.] « Κἂν γυνή τις λαβοῦσα χρή- « ματα παρὰ τῶν ὑποκαταστάτων [così « il nostro; l'*Epit. leg.* XLV, 15: ἐνστι- « τούτων] καὶ διά τινος φαρμάκου ἐκτρω- « θῆναι τοῦτω παρασκευάσεται κεφαλικῶς « τιμωρεῖται ».

[cap. 92.] « Ἐπιδεῖ οὗτος εὑρίσκονται « τινές, ὥστε ἐν σεβασμίοις οἴκοις τολμᾶν « εἰς τὰ τοιαῦτα ἑαυτοὺς ἐμμιγνύναι μίσει « κακοῖ περὶ ἁμαρτημάτων βουλεύεσθαι « ὅπου εἰῶθασιν οἱ τὸν θεὸν φοβούμενι τὴν « τῶν ἁμαρτήματων συγχώρησιν ἐξετεῖν, « κελεύομεν ὥστε εἴ τις τοιούτος εὑρεθοὶ « ἐν τόποις εὐάγεσιν ἀλλωτρία γαμετῇ, « εἰς ἣν ὑπονοεῖται ματὰ τρὶς ὡς εἴρηται « μαρτυρίας, διάλεγόμενος ἄδιαν εἶναι τῷ « ταύτης ἀνδρὶ, ἑκάτερων πρόσωπον τὸ « ἐκδίκω τῆς ἐκκλησίας ἤτις ἄλλοις κλη- « ρίκοις παραδιδόναι, ὥστε τῷ κινδύνω « κεχωρϊσμένους τούτους φυλάττεσθαι μέ- « χρις ὁ τοῦ τόπου ἄρχων τοῦτο γινώσκον « πίμψει πρὸς τὸν ἐπίσκοπον τῆς πόλεως, « ὥσται τοῦτον παραδοθῆναι τιμωρείας « ὀφείλοντα κατὰ τοὺς νόμους ὑποστῆναι, « οἱ ἀπαγωρεύουσιν τοῖς μοιχοὶς ἐκ τῶν « ἁγιωτάτων ἐκκλησιῶν ἐκδικεῖσθαι. μι- « δεμίαν αἰτίαν ἐνταῦθα τοῦ δικαστοῦ ζη- « τοῦντος περὶ τὴν τῆς μοιχείας ὑπόδειξιν, « εἰ μὶ τὰς τρὶς ὡς ἀνωτέρως εἰρήκαμεν « διάμαρτυρίας, τούτων γὰρ τῶν τριῶν « μαρτύρων ἀποδεικνυμένων, πάσι τρόποις « ἐκείνοι ὡς μοιχοὶ τιμωρείσθωσαν. εἰ « γὰρ τοὺς ἁρπαγὰς γυναικῶν καὶ μοι- « χείας πλημελοῦντας εἰς εὐκτηρίους οἴ- « κους προσφεύγοντας ὑπαιτῶν [ὑπ' αὐ- « τῶν?] ἐκδικεῖσθαι οἱ ἡμέτεροι νόμοι « συγχωροῦσιν, πῶς ἐκείνοις τοῖς ἐν αὐτῇ « τῇ ἐκκλησία τιαῦτα μίσει σπουδάζουσιν « διαπράττεσθαι συγχωρίσωμεν τινὰ βοή- « θην ἐκ τῶν ἐκκλησιαστικῶν εὑρίσκειν « ὅρων; ἅμα πάσι τρόποις τοῦτοῖς ἀρ- « χουσιν παραδιδῶσθαι καὶ τιμωρίαν ὑπο- « μένην εἰς [ἧς] ἄξιοι καθεστίκασιν οἱ « τοῦς ἀνωτέρους ρηθέντας τόπους μολύνῃ « τολμόνταις. ὁ γὰρ ἐκείσαι ἁμαρτάνων « ποῦ σωτηρίαν ἐτήσῃ; »

[cap. 93.] « Δύο γαμετὰς οὐδῆς ἔχειν « δύνατε, δι ὃ ὁ τοῦτον τολμῶν τυπτέσθω « εκδιωκομένη τῆς ἐπισάκτου μετὰ τῶν « ὡς εἰκὸς ἐξ αὐτῆς τεχθέντων παιδων ».

[cap. 90.] « Οἱ μάγοι » &c.

[cap. 89.] « Ὁ μάγος κἂν μιδὲν ποιῶν « ἐξ αὐτοῦ τοῦ εἰδέναι κολάζεται ».

(1) Si noti che queste parole « τί-

ἄρχοντες καὶ οἱ ἀρχόμενοι ἐξ ἴσης (a) μοίρας μεριζέσθωσαν τὸ ὑπόλοιπον· ἀρκεῖ γὰρ τοὺς ἄρχοντας τὸ περισσὸν τῶν ῥογῶν αὐτῶν. εἰ δὲ εὑρεθῶσί τινες ἐκ τῶν αὐτῶν ἀρχόντων ἐκ περισσοῦ ὡς ἀνδριζόμενοι, ἄδειαν ἐχέτω ὁ στρατηγὸς ἐκ τοῦ μέρους τοῦ δημοσίου φιλοτιμεῖσθαι αὐτούς. κατὰ δὲ τὴν μερίδα τοῦ ἐν τῷ πολέμῳ εὑρισκομένου λήψεται καὶ λάβει (b) ὁ κατα||λειφθεὶς φύλαξ ἐν τοῖς τούλδοις, ἤγουν ἐν τῷ φουσσάτῳ (1). c. 71 c

Τίτλος λε.

Περὶ βίας καὶ ἁρπαγῆς πραγμάτων καὶ ἀγρῶν καὶ περὶ στασιαστῶν καὶ ἀπελατῶν καὶ περὶ καταστάσεων (c) καὶ ἐμπρησμῶν (d) καὶ περὶ τάφου.

1. (e) Ἐὰν χωρὶς δικαστικῆς ἀποφάσεως ἀφέληταί (f) τις πρᾶγμα, εἰ μὲν ἴδιον αὐτοῦ, ἐκπίπτει τῆς αὐτοῦ δεσποτείας· εἰ δὲ ἀλλότριον, παρεχέτω αὐτὸ τὸ πρᾶγμα καὶ τὴν διατίμησιν αὐτοῦ (2).

(a) *Cod.* ἴσισ (b) *Così il Cod.* (c) *Così il Cod. Correggasi* καταπτώσεων (d) *Cod.* ἐμπρισμῶν (e) *Il capitolo comincia colle parole* Ὁ διχὸς ἄρχοντος ἀπαιτῶν, *intorno alle quali v. la nota.* (f) *Cod.* ἀφέλειταί

et gregarii ex aequa parte partiantur: sufficit enim praefectis annonarum suarum augmentum. Quod si inter ipsos praefectos aliqui singulari virtute excellere inveniantur, dux ex parte fisci licentiam habeat eos honorandi. Pro rata autem parte rerum in bello inventarum acquirit et accipit custos apud sarcinas, h. e. in castris, relictus.

Titulus XXXV.

De vi et rapina bonorum et agrorum et de seditionibus et abigeis et ruinis nec non de incendio et sepulcro.

1. Si quis citra iudiciale decretum rem violenter abstulerit, si quidem propriam ipsius, eius dominio cadit; si autem alienam, rem ipsam eiusque aestimationem praestet.

« τλος λε » sono aggiunte nel ms. da mano posteriore. Questo breve titolo non era numerato; l'indicazione originaria « τίτλος λε » appartiene al titolo seguente.

(1) *Proch. Bas.* XL, 1: « Οἱ κατὰ « πολεμίων τρόπαιον στήσαντες . . . , τοῦ « ἕκτου μέρους μόνον ἀφαιρουμένου τῷ « δημοσίῳ » &c.

(2) *Epitome legum* XL, 2. Le prime

2. Ὁ ἀπαιτῶν τὸν ἴδιον χρεώστην καὶ χωρὶς [a] τῆς κελεύσεως τοῦ ἄρχοντος λαμβάνων πρᾶγμα αὐτοῦ παρὰ τὸ θέλημα αὐτοῦ ἢ καὶ βίᾳ, ἁμαρτάνει καὶ τοῦ ἰδίου χρέους ἐκπίπτει [1].

3. Ὁ ἁρπάζων γῆν ἢ μετατιθεὶς ὅρια διπλῆν τὴν ἁρπαγὴν ἀποδίδωσιν. ὁ τὸ πρᾶγμα κινῶν καὶ μὴ λέγων [b] δι' ἕξης πῶς [c] ἐγένετο δεσπότης, ἀκωλύτως ἐξεταζέτω ὁ δικαστής· καὶ ἐὰν ἐνεχθεὶς τὴν ἐνρέ-
c. 71 D μον [d], εἰς τὸ πρᾶγμα, ἐνίκησεν ‖ ὡς μὴ νεμόμενος, ἰσχυρῶς ἐνάγει μηδὲν ἐκ τῆς πρώτης νίκης ὠφελούμενος [e]. τὸ κατὰ βίαν ἢ φόβον γινόμενον οὐκ ἐστι δίκαιον. ὁ [f] ποιῶν βίαν ἢ φόβον τινὶ ἀνθρώπῳ, διὰ τὸ πωλῆσαι αὐτῷ τὸ πρᾶγμα αὐτοῦ, ἐγκαλεῖται καὶ παρὰ τῶν κληρονόμων τοῦ βιασθέντος [2].

4. Ὁ ἁρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν, οὔτε τῷ ταφίῳ [g], ἤγουν τῇ φυλακῇ, ἐνέχεται· οὐ γὰρ κλοπῆς χάριν,

(a) *Cod.* χωρῆς (b) ἀποδίδωσιν – μὴ λέγων] *Supplemento dall' Epit. leg.* (c) πῶς *manca nel Cod.* (d) *Cod.* ἔρεμον (e) *Cod.* ὀφελούμενος (f) ὁ *di altra mano, nel marg. interno.* (g) *Così il Cod.*

2. Qui adversus debitorem suum agit et absque magistratus auctoritate rem eius contra eius voluntatem occupat vel vi, peccat et credito suo cadit.

3. Qui terram aufert et terminos transponit, ablatum duplum (reddit. Qui rem petit neque dicit) quomodo dominium acquisivit, sine impedimento a iudice examinatur: et si ille, qui in rem actione convenitur, vincit tamquam non possidens, valide agit nihil adiumenti ex priori victoria accipiens. Quod vi metusve causa gestum erit, ratum non est. Qui vim aut metum alii infert, ut rem suam ei vendat, et ab heredibus illius, qui vim passus est, convenitur.

4. Qui rapit aut celat meretricem alienam ancillam, ταφίῳ (?), h. e. custodia, non tenetur; non enim furandi causa, sed causa

parole del nostro, che abbiamo espunte, corrispondono al principio del cap 1 di questo titolo dell'*Epitome*, che poi il nostro riferisce come cap. 2. Il copista del nostro ms. aveva presente il testo dell' *Epitome*?

(1) *Epit. leg.* XL, 1: « Ὁ δίχα ἀρχοντος « ἀπαιτῶν τὸν ἴδιον χρεώστην ἢ πρᾶγμα αὐ- « τοῦ παρὰ γνώμην αὐτοῦ λαμβάνων καὶ « βίαν ἁμαρτάνει καὶ τοῦ χρέους ἐκπίπτει ».

(2) *Epit. leg.* XL, 3 e 6. Il nostro ha già riferito nel tit. XXXIV, cap. 85 l'*Epit. leg.* XL, 4, e qui riunisce i capitoli 3 e 6, tralasciando il 5.

ἀλλὰ χάριν ἡδονῆς τοῦτο ἐποίησεν· εἰ (a) γὰρ καὶ τὰς θυρίδας κλάσει τῆς πόρνης, καὶ ἄλλοι εἰσελθόντες μὴ παρ' αὐτοῦ εἰσαχθέντες κλέψουσι τὰ πράγματα τῆς πόρνης, οὐκ ἐνέχεται ὡς κλέπτης (1).

5. Παῖδες καὶ ἀπελεύθεροι ἐκβληθέντες καὶ ἐξεωθέντες ἀπὸ τῆς βεβαίας νομῆς παρὰ τοῦ πατρὸς ἢ παρὰ τοῦ πάτρωνος, τὸ μὲν ἔγκλημα τῆς βίας οὐ δύνανται κινεῖν, ‖ εἰς δὲ τὸ ἀναλαβεῖν τὴν νομὴν κινοῦσι (2). c. 72 A

6. Γυνὴ ὑποστᾶσα βίαν οὐχ ὑπόκειται τῷ νόμῳ, κἂν ἐρυθριῶσα καὶ ἐντραπεῖσα οὐκ ἀνήγγειλε παρευθὺς τῷ ἀνδρὶ αὐτῆς τὸ γεγονός. καὶ ἀποθανούσης τῆς γυναικός, δύναται ὁ ἀνὴρ κατηγορεῖν τοῦ μοιχοῦ (3).

7. Ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας· καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ μὴ γεγαμημένην ἐσχάτως τιμωρεῖται· καὶ ὁ ἀποκλείων καὶ τύπτων σφοδρῶς τινα, καὶ ὁ ἄρχων φονεύων ἢ τύπτων ἐγκαλεσάμενον καὶ περιθεὶς αὐτῷ ἁλυσίδην, καὶ ὁ ποιήσας τὸν δικαστὴν κατὰ δόλον ψηφίσασθαι ἔχει τὴν ἀπαίτησιν εἰς τὸ τετραπλοῦν (4).

(a) *Cod.* ἢ

libidinis hoc fecit: ideoque etiam si fores meretricis effregit aliique ingressi sunt, non ab eo inducti, qui meretricis res egesserunt, non tenetur tamquam fur.

5. Filiifamilias et liberti a firma possessione expulsi et extrusi a patre vel a patrono, vis quidem crimen intendere non possunt, de possessione vero recipienda agunt.

6. Mulier vim passa legi non subiacet, licet erubescens et timida confestim quod accidit marito suo non renuntiaverit. Defuncta quoque uxore, maritus adulterum accusare potest.

7. Maior est raptus adulterio; et qui nuptam vel vacantem mulierem rapuit, ultimo supplicio punitur; tam qui aliquem conclusit aut graviter verberavit, quam magistratus qui accusatum necavit vel verberibus adflixit eique vincula in collum iniecit, et qui fecit ut iudex dolo iudicaret, quadrupli repetitioni subiacet.

(1) *Epit. leg.* XL, 7: « ... οὔτε τῷ φα- « βίῳ οὔτε τῇ φύρτῃ κατέχεται » &c.

(2) *Epit. leg.* XL, 8: « Π. κ. ἀ. βε- « βαίας νομῆς ἐκβληθέντες παρὰ » &c. Manca nel nostro il cap. 9 corrispondente al *Proch. Bas.* XXXIX, 66.

(3) *Epit. leg.* XL, 10: « Ἡ βίαν ὑπο- « στᾶσα οὐκ (*sic*) ὑπόκειται τῷ νόμῳ, κἂν « ἐρυθριῶσα τὸ γενόμενον οὐκ ἀνήγγειλε « τῷ ἀνδρὶ παραχρῆμα. καὶ ἀποθανού- « σης ἐν τῷ γάμου τῆς γυναικὸς δύ- « ναται ὁ ἀνὴρ τῷ μοιχῷ κατηγορεῖν ».

(4) *Epit. leg.* XL, 11: « ... καὶ κλοιὸν « περιθεὶς αὐτῷ, καὶ ὁ ποιήσας » &c.

8. Ὁ ὠθῶν τινα ἢ μαστίζων ἢ κατὰ βίαν εἰς οἶκον εἰσιὼν ἐκ τοῦ νόμου τοῦ Κορνηλίου τὴν ὕβριν ἐχέτω· πᾶσα (a) τοίνυν ἡ διὰ χειρὸς
c. 72 b γεναμένη ὕβρις ὑπὲρ τὸν Κορνήλιον ἀναφέρεται. ἐπὶ τούτοις γὰρ οὐ δικάζει (b) ὁ συγγενής, ἢ γαμβρὸς ἢ πενθερὸς ἢ πατρῷος ἢ ἀγχιστής (1).

9. Καλῶς ἐξωθῶ μετὰ τῶν ὅπλων τὸν ἐρχόμενον ἐπ' ἐμὲ μεθ' ὅπλων· ἐν γὰρ ταῖς ἀνάγκαις οὐ δεῖ περιμένειν τὴν βοήθειαν τοῦ νόμου· οὐ γὰρ μόνον δεῖ ἀντιστῆναι, ἀλλὰ καὶ ἐκβληθέντα εὐθὺς ἀντεκβάλλειν, ἀλλ' ὅμως οὐ μέλλομεν διώκειν. εἰ δὲ ὁ διοικητής μου ἢ ἡ φαμηλία ἔνοπλος ἔλθῃ (c), ἐγὼ βίαν ποιῶ, εἴτε ἐπέτρεψα, εἴτε ῥατοναβίτευσα (d). ὡς βιβ. $\overline{\mu\eta}$ (e) (2).

10. Ὅπλα λέγονται πάντα τὰ βέλη καὶ οἱ λίθοι τὰ ξύλα ῥομφαῖα ῥόπαλα (3).

11. Εἰ (f) ἐκβάλλει σε (g) δόλῳ μου ἕτερος, καλῶς ἐνάγομαι καὶ μετὰ ἐνιαυτὸν εἰς περιελθόν (4).

(a) *Cod.* πᾶσι (b) *Così il Cod. Cf. Epit. leg. XL, 12.* (c) *Cod.* ἔλθῃ (d) εἴτε ῥατοναβίτευσα] *Mancano queste parole nel Cod.* (e) $\overline{\mu\eta}$] *Così il Cod. Cf. Epit. leg. XL, 13.* (f) *Cod.* Ὁι *(ma* Ὁ *in rosso).* (g) *Cod.* ἐκβάλεισε

8. Qui aliquem pulsat aut verberat et qui in domum vi ingreditur, ex lege Cornelia iniuriam facit: omnis itaque iniuria, quae manu fit, lege Cornelia continetur. De his vero affinis non iudicat vel gener vel socer vel patruus vel cognatus.

9. Recte eum, qui adversus me cum armis venit, armis repello: in necessitatibus enim legis auxilium expectare non oportet: non solum enim resistere permissum, sed et deicientem ex continenti deicere; illum vero persequi non debemus. Si procurator meus aut familia in armis venit, ego vim facio, sive mandavi, (sive ratum habui), ut lib. .XLVIII.

10. Arma dicuntur omnia tela et lapides fustes gladii hastae.

11. Si quis te dolo meo deiciet, recte et post annum in id quod (ad me) pervenit, teneor.

(1) *Epit. leg.* XL, 12: « ...ἐπὶ τούτων « γὰρ συγγενὴς οὐ καταδικάζει » &c.

(2) *Epit. leg.* XL, 13: « Καλῶς ὅπλοις « ἐξωθῶ τὸν μετὰ ὅπλων ἐπιόντα, πα- « ραχρῆμα μέντοι· καὶ οὐ μόνον ἀν- « τιστῆναι ἔξεστιν, ἀλλὰ καὶ ἐκβληθέντα « εὐθὺς ἀντεκβάλλειν, οὐ μέντοι μετα- « διώκειν ... ὡς βι. μγ' τίτ. ιε' « καὶ ις' ».

(3) Cf. *Epit. leg.* XL, 14.

(4) *Epit. leg.* XL, 15: « Εἰ δόλῳ μου « ἕτερος ἐκβ. σε » &c.

12. Βίαν σοι ποιῶ, εἰ μὴ συγχωρῶ σοι χρήσασθαι τοῖς οἰκείοις, ὅταν ὀρύττῃς ἢ σπείρῃς ἢ ἀροτριοῖς ἢ ἐπικτίζεις, δι' οὗ ἀφαιροῦμαι ἀπὸ σοῦ τὴν ἐλευθερίαν τῆς νομῆς (1).

13. Ἐὰν ἐκβάλῃς με βίᾳ ἀπὸ τοῦ ἀγροῦ ὃν εἶχον βίᾳ ἢ λάθρα ἢ (a) παρακλήσει, καὶ αὐτὸν καταλήψομαι καὶ τὰ ἐν αὐτῷ κινητά (2). c. 72 c

14. Οἱ βουλευσάμενοι θόρυβον ποιῆσαι ἢ στάσιν, καὶ οἱ ἔχοντες μεθ' ἑαυτῶν ἐνόπλους ἐλευθέρους ἢ δούλους, καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος, καὶ οἱ ἀγρίως ἐλθόντες καὶ σὺν ὅπλοις ἁρπάζοντες (b) πράγματα, καὶ ὁ ἁρπάζων τι ἀπὸ ἐμπρησμοῦ (c) πλὴν ὕλης, τουτέστι λίθων καὶ ξύλων, καὶ ὁ βιαίως κακοποιήσας τινά, καὶ ὁ παραγενόμενος ἔνοπλος εἰς ἐμπρησμόν (d), καὶ ὁ κατὰ δόλον ἀποκλείσας ἄνθρωπον, καὶ ὁ ἐμποδίσας (e) ταφῆναί τινα, καὶ ὁ ποιήσας ἁρπαγὴν (f) ἢ διαλυθῆναι τὸ πένθος τοῦ ἀποθανόντος πρὸ τῶν θ' ἡμερῶν, ἢ κατὰ βίαν ποιήσας ἑαυτῷ τινα ἔνοχον, ἀκυροῦται ἡ ἐνοχή (3). ἐὰν κατ' αὐτοῦ ζητῆται

(a) ἢ *manca nel Cod.* (b) *Cod.* ἁρπάζοντας (c) *Cod.* ἐμπρισμοῦ (d) *Cod.* ἐμπρισμὸν (e) *Cod.* ἐμποδήσας (f) *Così il Cod.*; ἁρπαγῆναι

12. Vim tibi facio si non sino te propriis rebus uti, sive fodias sive inseras aut ares aut aedifices, quia liberam possessionem tuam non relinquo.

13. Si vi me deicies a fundo, quem vi aut clam aut praecario possiderem, et eum et res mobiles in eo exstantes recipiam.

14. Qui turbae seditionisve faciendae consilium inierint et qui servos aut liberos homines in armis secum habuerint et qui pubes telum in publico tulerit et qui villas expugnantes cum armis bona rapuerint, et qui ex incendio aliquid rapuerit praeter materiam, h. e. lapides et ligna, et qui quampiam per vim stupraverit, et qui in incendio cum gladio fuerit, quique hominem dolo incluserit, quive prohibuerit quominus aliquis sepeliatur, et qui fecerit quo funus diripiatur aut defuncti luctus ante .IX. dies

(1) *Epit. leg.* XL, 16: « Βίαν σοι « ποιῶ εἰ μὴ συγχωρήσω τοῖς οἰκείοις « ὡς βούλῃ χρήσασθαι σπείροντα ἢ ὀρύτ- « τοντα ἢ ἀροτριῶντα ἢ ἐπικτίζοντα, εἴτε « δι' οὗ τὴν ἐλευθερίαν ἐδεξάμην ἀφαιροῦ- « μαί σου νομήν. ὡς βι. μζ' τί. ις' « διγ. ιζ' ».

(2) Cf. *Epit. leg.* XL, 17. Qui però manca il secondo « βία » del nostro e dei *Dig.* XLIII, 16, 14.

(3) *Epit. leg.* XL, 18: « ... καὶ ὁ βιαίως « αἰσχρουργήσας τινὰ ..., καὶ ὁ ποιήσας « ἁρπαγῆναι ἢ διαλυθῆναι τὸ πένθος, ἢ « κατὰ βίαν ἑαυτῷ » &c.

c. 72 D περὶ βίας καὶ νομῆς ἢ (a) δεσποτείας, τὰ περὶ βίας ‖ πρότερον ἐξετα-
ζέσθω (1).

15. Οἱ ἐλθόντες μεθ' ὅπλων καὶ πραιδεύοντες τοὺς ξένους οἴκους ἢ ἀγροὺς κεφαλικῶς τιμωροῦνται (2).

16. Κυρίως ἀπελάτης λέγεται ὅστις ὑποσύρει θρέμματα ἀπὸ βοσκῆς ἢ ἀπὸ βουκολίου, ἢ ἵππον ἀπὸ τῶν ἀγέλων. ὁ γὰρ λαβὼν βοῦν ἢ ἵππον πλανώμενον, οὐκ ἐστιν ἀπελάτης, ἀλλὰ κλέπτης. εἰ γὰρ ἀπελάσει τις χοῖρον ἢ αἶγα, οὐχ οὕτως σφοδρῶς τιμωρεῖται, ὡς ὁ ἀπελαύνων ἀγέλην τελείων ζώων. ὁ μετὰ ξίφους ἀπελαύνων ἀγέλην, θηρίοις ὑποβάλλεται (3).

17. Δέκα γὰρ πρόβατα ποιοῦσιν ἀγέλην, καὶ χοῖροι ε' ὁμοίως. οἱ δεχόμενοι τοὺς ἀπελάτας ἐπὶ δέκα χρόνους ἐξορίζονται τῆς Ἰταλίας (4).

18. Ὁ ἁρπάζων ἀπὸ ἐμπρησμοῦ (b) τι πρᾶγμα, ἢ καταπτώσεως

(a) ἢ *manca nel Cod.* (b) *Cod.* ἐμπρισμοῦ

rumpatur, et qui per vim sibi aliquem obligaverit: obligatio rescinditur. Si in eamdem personam agatur de vi et possessione vel dominio, de vi antea cognoscendum.

15. Qui cum armis ingressi alienas domus agrosve expilaverint, capitaliter puniuntur.

16. Abigeus proprie is habetur, qui pecora ex pascuis vel ex armentis subtrahit, aut equum de gregibus. Qui enim bovem aut equum aberrantem abduxerit, non est abigeus, sed fur potius. Sed si quis porcum vel capram abduxit, non tam graviter, quam qui maiorum animalium gregem abigit, plectitur. Qui cum gladio gregem abigit, bestiis obicitur.

17. Decem enim oves faciunt gregem et similiter quinque porci. Receptores abigeorum decem annis extra Italiam relegantur.

18. Qui ex incendio aut ruina domus aut naufragio aut nave

(1) *Epit. leg.* XL, 19: « Ἐὰν κατὰ « ταὐτὸν ζητεῖται » &c.

(2) Loc. cit.: « Οἱ μεθ' ὅπλον ἐπιόντες « καὶ πορθοῦντες ἀλλοτρίους οἴκους ἢ « ἀγροὺς εἰς κεφαλὴν τιμωροῦνται ».

(3) *Epit. leg.* XL, 20: « ... εἰ γάρ « τις χοῖρον ἢ αἶγαν ἀπελάσει, οὐχ οὕτως « σφοδρῶς τιμωρεῖται ὡς ὁ τελείων ζώων « ἀπελαύνων ἀγέλην » &c.

(4) Cf. *Epit. leg.* XL, 21. Sono tralasciati i capitoli 22, 23 e 24 dal nostro.

οἴκου, ἢ ναυαγίου, ἢ πλοίου πορθησθέντος [a], ἢ κατὰ δόλον ὑποδεχόμενος ἢ ζημιῶν [b] ἐντὸς μὲν ἐνιαυτοῦ ‖ ἐνέχεται εἰς τὸ τετραπλοῦν, μετὰ δὲ τὸν χρόνον εἰς τὸ ἁπλοῦν μόνον [1]. c. 73 A

19. Οἱ ποιοῦντες ἐν πόλει ἐμπρησμὸν [c] ἐξαρνῶς, εὐτελεῖς μὲν ὑπάρχοντες θηριομαχοῦσιν, ἐν τῇ δὲ βαθμῷ ὄντες ἀποκεφαλίζονται [2].

20. Ὁ καύσας ἐν εἰδήσει οἰκίαν ἢ σωρὸν σίτου τοῦ πλησιάζοντος τῷ οἴκῳ, τυπτόμενος γίνεται πυρίκαυστος· ὁ δὲ κατὰ τύχην γινόμενος ἐμπρησμὸς [d], συγχωρεῖται· εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξοιτο, χειροκοπείσθω [3].

21. Ἡ ταφὴ τοῦ υἱοῦ χρέος [e] ἐστὶν ἐπικείμενον τῷ πατρί [4].

22. Ἐὰν ἀποθανούσης τῆς γυναικὸς μὴ [f] κερδήσῃ ὁ ἀνὴρ ἐκ τῆς προικὸς αὐτῆς, ὑπόκειται εἰς τὰς δαπάνας τῆς ταφῆς αὐτῆς [5].

(a) *Così il Cod.* (b) *Cod.* ζυμιῶν (c) *Cod.* ἐμπρισμόν (d) *Cod.* ἐμπρισμός (e) *Cod.* χρέο (f) *Così il Cod. Cf. la nota.*

expugnata quid rapiat vel recipiat vel quid damni det, intra annum quidem in quadruplum tenetur, post annum vero in simplum tantum.

19. Qui data opera in civitate incendium fecerint, si humiliores quidem sunt bestiis obiciuntur, sin autem in aliquo gradu constituti, capite puniuntur.

20. Qui aedes acervumve frumenti iuxta domum situm sciens combusserit, verberatus igni necetur; fortuito autem factum incendium venia indiget; si extra urbem id fecerit, manum amittat.

21. Funus filii est debitum patri incumbens.

22. Si morte mulieris maritus quid ex eius dote lucratur, funeris expensas sustinere debet.

(1) *Epit. leg.* XL, 25: « Ὁ ἀπὸ ἐμ- « πρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου ἢ « πλοίου πορθηθέντος ἁρπάζων ἢ κατὰ « δόλον ὑποδεχόμενος ἢ ζημιοῦν εἴσω μὲν « ἐνιαυτοῦ ... μετὰ δὲ ἐνιαυτὸν εἰς τ. ἁ. « ἐνέχεται ».

(2) *Epit. leg.* XL, 27: « Οἱ ἐξεπί- « τηδες ἐν πόλει ποιοῦντες ἐμπρησμόν, « εὐτελεῖς μὲν ὄντες θηριομαχοῦσιν, ἐν « τινι δὲ βαθμῷ ὄντες ἀποκεφαλίζονται ».

(3) *Epit. leg.* XL, 28: « Ὁ οἰκίαν ἢ « σωρὸν σίτου πλησιάζοντος οἴκου καύσας « ἐν εἰδήσει » &c.

(4) Cf. *Epit. leg.* XL, 30.

(5) *Epit. leg.* XL, 32: « Ἐὰν ἀποθα- « νούσης τῆς γυναικὸς μὴ ἐκ τῆς προικὸς « αὐτῆς κερδήσῃ ὁ ἀνήρ, ὑπόκειται τὰ « δαπανήματα τῆς ταφῆς αὐτῆς ». La negazione « μή », che si trova anche nel nostro, deve scomparire.

23. Προνόμιον ἔχει τὸ δαπάνημα τῆς ταφῆς, καὶ διὰ οἱασδήποτε ἀγωγῆς σβέννυται (1).

24. Ὁ κληρονομῶν τὴν γαμετὴν θαπτέτω αὐτὴν ἀπὸ τῆς προικὸς καὶ ἐκ τῆς κληρονομίας (2).

c. 73 a 25. Κληρονομιαῖον χρέος ἐστὶ τὸ δαπάνημα τῆς ταφῆς τοῦ τεστάτορος (3).

26. Ἐὰν πωληθῶσιν ἀγροὶ ἔνθα εἰσὶ τάφοι, φυλάττονται τῷ πράτῃ καὶ εἰς αὐτὸν παραδίδονται (a) ἐπὶ τὸ θάπτειν (4).

27. Τὰ μνήματα τῶν πολεμίων (b) οὐκ εἰσι ρελιόσα · ὅθεν ἐὰν φέρωμεν εἰς ἑτέρας χρείας τοὺς ἐξ αὐτῶν λίθους, οὐκ ἐναγόμεθα οὔτε ἐνεχόμεθα τῷ Ἀκουϊλίῳ νόμῳ (5).

28. Ἐάν τις θάψῃ ἐν πόλει, δίδωσι τῷ φίσκῳ νομίσματα μ', καὶ ὁ ἀνασχόμενος ἄρχων καὶ ὑπομείνας νομίσματα μ', καὶ ὁ τόπος φισκοῦται,

(a) *Cf. Epit. leg.* XL, 37. (b) *Cod.* πόλεων

23. Funeris sumptus privilegio gaudet et quacumque actione extinguitur.

24. Qui mulieri succedit ex dote et ex hereditate, eam funeret.

25. Testatoris funeris sumptus hereditarium debitum est.

26. Si venduntur fundi, in quibus sepulcra sunt, venditori (aditus) servatur ac datur ad funus faciendum.

27. Sepulcra hostium religiosa non sunt; ideoque si lapides inde sublatas in alios usus convertimus, non convenimur neque tenemur Aquilia lege.

28. Si quis in civitate sepeliat, .XL. aureos fisco inferat, et magistratus qui toleravit ac passus est aureos .XL.; et locus pu-

(1) *Epit. leg.* XL, 33: « Διὰ οἱασδή-« ποτε ἀγωγῆς τὰ τῆς ταφῆς δαπανή-« ματα προνόμιον ἔχει. ὡς βι. μβ' « τί. ε' ».

(2) *Epit. leg.* XL, 34: « Ὁ τὴν γα-« μετὴν κληρονομῶν ἐκ τῆς προικὸς καὶ « ἐκ τῆς κληρονομίας ϑαπτέτω αὐτήν ».

(3) *Epit. leg.* XL, 35: « Τὸ τῆς ταφῆς « τοῦ τεστάτορος ἀνάλωμα κληρονομιαῖον « χρέος ἐστίν. ὡς βι. ιη' τί. δ' « διγ. β' ».

(4) *Epit. leg.* XL, 37: « Καὶ πιπρα-« σκομένων τῶν ἀγρῶν ἐν οἷς οἱ τάφοι « εἰσὶ φυλαττέσϑω τῷ πράτῃ καὶ εἰς αὐτὸν « πάροδος ἐπὶ τὸ ϑάπτειν ». Forse sotto il « παραδίδονται » del nostro si nasconde la parola « πάροδοι ».

(5) *Epit. leg.* XL, 38: « Τὰ μνημεῖα « τῶν πόλεων [πολεμίων?] οὐκ εἰσὶ ῥελι-« γιόσα, ὅϑεν τοὺς ἐξ αὐτῶν ἐπαιρομένους « λίϑους εἰς ἑτέρας μεταφέρειν χρείας οὐκ « ἐναγόμεϑα τῷ ἀκουιλίῳ ».

καὶ τὸ λείψανον οὐ [a] ἐπαίρεται ἐκεῖθεν, κἂν ἡ συνήθεια τῆς πόλεως ἔχει θάπτειν ἐν αὐτῇ· τοὺς γὰρ γενικοὺς νόμους δεῖ ἰσχύειν πανταχοῦ [1].

29. Οἱ μετακομίζοντες τὰ λείψανα ἢ τὰ ὀστᾶ, εὐτελεῖς μὲν ὄντες τιμωροῦνται κακαισχίστως· ἔντιμοι ὑπάρχοντες δεπορτατεύονται, τουτέστιν ἐξορίζονται [2].

30. Τὸ λείψανον τὸ μὴ δοθὲν ‖ ἐν διηνεκῇ ταφῇ, καλῶς μεταφέρεται [3]. καὶ ἔσω πόλεως οὐδεὶς δύναται θάψαι νεκρόν. οὐδὲ πάλιν ἀπαιτεῖ τις τέλος ὑπὲρ νεκροῦ, ὡς βιβλίον μδ̄ τοῦ κώδικος [4]. c. 73 c

31. Βίαν ποιεῖ καὶ ὁ κτίσας ἢ ἀροτριάσας μετὰ τὴν κώλυσιν, καὶ ὁ ἀπειλήσας τῷ ἀντιδίκῳ ἵνα μὴ κωλυθῇ [b], καὶ ὁ ἀποκλείσας τὸν πυλῶνα αὐτοῦ ἵνα μὴ παρεγγελθῇ· κωλύει δὲ καὶ ὁ λέγων κωλύειν, καὶ ὅταν τιθεῖς χεῖρα, καὶ ὁ ῥίπτων λίθον. ἐν [c] τῇ καινοτομίᾳ καὶ ἔδαφος καὶ ἀὴρ μετρεῖται [5].

(a) οὐ] *Da espungere.* (b) ἵνα μὴ κωλυθῇ] *Parole supplite.* (c) *Cod.* ἀν *(ma* ἀ *in rosso).*

blicatur, et corpus transfertur, licet consuetudo civitatis in ea sepeliri permittat: generalia enim statuta in omni loco valere oportet.

29. Qui corpora vel ossa extraxerint, si humiliores quidem sunt, summo supplicio adficiuntur; si vero honestiores, deportantur, h. e. expelluntur.

30. Corpus nondum perpetuae sepulturae traditum recte transfertur. Et intra civitatem defunctum sepelire nemo potest. Neque quidquam vectigal pro cadavere exigitur, ut lib. XLIV. Cod.

31. Vi facit tam is qui prohibitus aedificat vel arat, quam is qui, (quo minus prohibeatur), adversario minas fecerit et qui ianuam suam praecluserit, quo minus denuntietur. Prohibet autem et qui prohibere dicit et qui manum opponit lapillumve iactat. In opere novo tam soli quam coeli mensura facienda.

(1) Cf. *Epit. leg.* XL, 39. Qui, alla frase del nostro: « τὸ λείψανον οὐ ἐπαι- « ρεται ἐκεῖθεν », corrisponde questa: « τ. λ. οὐ μεταφέρεται »: nell' un luogo e nell' altro va tolta la negazione « οὐ ». Cf. *Dig.* XLVII, 12, 3, 5.

(2) *Epit. leg.* XL, 41: « Οἱ τὰ λεί- « ψανα ἢ τὰ ὀστᾶ μετακινήσαντες » &c.

(3) *Epit. leg.* XL, 42: « Τὸ μὴ διη- « νεκεῖ ταφῇ δοθὲν λείψανον καλῶς με- « ταφέρεται εἰς ἕτερον τόπον ».

(4) *Epit. leg.* XL, 43: « ... οὐδὲ ὑπὲρ « νεκρῶν οὐδεὶς ἀπαιτεῖ τέλος. ὡς βι. γ' « τί. μδ' διατ. α' [ι'], ιβ', ιδ' « τοῦ κωδ. ». Si osservi come sono fatte male qui ed altrove dal nostro le citazioni dei fonti giustinianei.

(5) Cf. *Epit. leg.* XL, 44.

Τίτλος λς.

Περὶ τῶν δημευομένων ἐν τῷ φίσκῳ, καὶ περὶ ἀνατμημένων (a) *καὶ περὶ δεπορτατευομένων καὶ περὶ αἱρέσεων.*

1. Οὐ συνδημεύονται τῇ περιουσίᾳ τοῦ πατρὸς εἰς δημόσια χρέη τὰ πεκούλια τῶν τέκνων (1).

2. Οὐ συναπάγονται τὰ πράγματα τῆς γυναικὸς τῇ οὐσίᾳ τοῦ
c. 73 b ἀνδρός. ἐὰν δημοσιευθῇ, | κἂν ἐξώπροικα ὑπάρχωσι (2).

3. Καὶ πολίτης (b) καὶ ἰδιώτης καὶ (c) δανειστὴς ἔχοντες ἀρχαιοτέραν καὶ παλαιοτέραν τὴν ὑποθήκην τοῦ φίσκου προτιμῶνται αὐτοῦ (3).

4. Ὁ φίσκος ἐπιγινώσκει τὰ ἀναγκαῖα δαπανήματα ὑπὲρ δημευθείσης προικός (4).

(a) *Così il Cod.* (b) *Così il Cod.* (c) καὶ] *Da espungere.*

Titulus XXXVI.

De bonis fisco applicandis et de requirendis et de deportatis et de haeresibus.

1. Fisco non applicantur una cum patris substantia propter publica debita peculia filiorum.

2. Non communicantur mulieris res cum viri substantia, si publicetur, licet extradotales sint.

3. Et civitas et privatus creditor, qui antiquiorem vetustioremque hypothecam quam fiscus habent, ei praeferuntur.

4. Fiscus necessarios sumptus agnoscit in dote, quae publicatur.

(1) *Epit. leg.* XLI, 1: « Τὰ πεκούλια « τῶν τέκνων οὐ συνδημεύονται τῇ τοῦ « πατρὸς οὐσίᾳ εἰς τὰ δημόσια χρέη. « ὡς βι. λε' τί. β' διγ. γ' ».

(2) *Epit. leg.* XLI, 2: « Οὐ συναπά- « γονται τὰ τῆς γυναικὸς πράγματα τῇ « τοῦ ἀνδρὸς οὐσίᾳ δημευομένου, κἂν ἐξ- « ώπροικά εἰσι ».

(3) Cf. *Epit. leg.* XLI, 3: « Καὶ πολίτης « καὶ ἰδιώτης δ. » &c. Per « πολίτης » si legga « πόλις »: cf. *Dig.* XX, 4, 8.

(4) Cf. *Epit. leg.* XLI, 4.

5. Ἐάν τις καταδικασθῇ κεφαλικῇ τιμωρίᾳ, καὶ ἡ οὐσία αὐτοῦ δημεύεται. ὅτι ὁ δημευθεὶς ἀντὶ ἀποθανόντος λογίζεται (1).

6. Ἐάν τις μνηστεύσηται ἣν οὐ πρέπει καὶ χαρίσηται αὐτῇ τι, ἀφαιρεῖται τοῦτο ὁ φίσκος, ὡς παρὰ ἀναξίας μνήστης (a) (2).

7. Ἐὰν καταδικασθῇ ὁ κινήσας δὲ ἰνοφικιόσο, ἤτοι περὶ τῆς ἀπρεποῦς διαθήκης, ὁ φίσκος λαμβάνει τὸ καταλειφθὲν αὐτῷ (3).

8. Οἱ κερδαίνοντές τι από τοῦ ναυαγίου ἀπαιτοῦνται τὸ τετραπλοῦν, καὶ δίδοται τῷ φίσκῳ (4).

9. Ὅτε πατὴρ δημεύεται καὶ λάβωσιν οἱ παῖδες τὸ συγχω‖ρηθὲν αὐτοῖς μέρος, οὐκ ἐνάγονται πρὸς τὸ μέρος (b), ὃ ἔλαβον παρὰ τῶν δανειστῶν, οὐδὲ γὰρ διάδοχοι νομίζονται· ἀλλὰ μόνος ὁ φίσκος ἐνάγεται, ἐπειδὴ ἀφαιρουμένων τῶν χρέων δίδωσι τοῖς παισὶ μέρος· καὶ ἀνεξαιρέτως ἔχουσι καὶ τὸ κανστρένσιον πεκούλιον (5). c. 74 A

(a) *Così il Cod.* (b) οὐκ – μέρος] *Parole supplite.*

5. Si quis capitali poena damnetur, eius quoque bona publicantur. Qui enim publicatur pro defuncto habetur.

6. Si quis quam non decet desponsaverit eique quid donaverit, id tamquam ab indignis nuptiis fiscus vindicat.

7. Si is, qui de inofficioso, h. e. de indecoro testamento, agit, damnetur, quod ei relictum est fiscus recipit.

8. Qui aliquid ex naufragio lucrantur in quadruplum tenentur, idque fisco datur.

9. Cum pater publicatur liberique relictam eis partem accipiunt, (non convenientur pro parte,) quam acceperunt, a creditoribus, quia successores non aestimantur; sed fiscus solus convenitur, postquam, detractis debitis, filiis partem assignaverit; et indistincte castrense quoque peculium habent.

(1) *Epit. leg.* XLI, 5: « Τοῦ ἐπὶ κε« φαλικοῦ ἐγκλήματος καταδικασθέντος « ἡ οὐσία δημεύεται. ὡς βι. κ' τί. δ' « διγ. κς' ». σημ. ὅτι ὁ δημευθεὶς ἀντὶ « ἀποθανόντος νοεῖται ».

(2) *Epit. leg.* XLI, 6: « Ἐὰν τις μνη« στεύσηται ἣν οὐκ ἔξεστι καὶ δωρήσηται « αὐτῇ τι, ὡς παρὰ ἀναξίας ὁ φίσκος τοῦτο « ἀφαιρεῖται ».

(3) *Epit. leg.* XLI, 7: « Ἐὰν ὁ κι« νήσας κατὰ διαθήκης δινοφφικιόσο ἢ « πλαστὸν καὶ ἡττηθῇ, τὸ καταλει« φθὲν αὐτῷ ὁ φίσκος λαμβάνει ».

(4) Cf. *Epit. leg.* XLI, 10, che aggiunge: « ὡς βι. μζ' τί. θ' διγ. γ' ».

(5) Cf. *Epit. leg.* XLI, 12.

10. Ἐὰν ἀπελεύθερος καταδικασθῇ, λαμβάνει ὁ φίσκος τὰ περιττεύοντα πράγματα ἅμα τῷ πάτρωνι (1).

11. Ὁ φίσκος ἐστὶ κληρονόμος τῶν δημευομένων, καὶ μόνη ἀνάκειται αὐτῷ ἡ παραγραφὴ τῶν τεσσάρων χρόνων (2).

12. Ἐὰν δοῦλός τις κατηγορηθῇ (a) περὶ μοιχείας καὶ βασανισθῇ διὰ τὴν ἔρευναν τῆς μοιχείας, τοῦ φίσκου γίνεται, ἵνα μὴ κρύψῃ τὴν ἀλήθειαν διὰ τὸν φόβον τοῦ μὴ ὑποστρέψαι πρὸς τὸν δεσπότην (3).

13. Ὅταν ὁ κληρονόμος διαῤῥήξῃ τὸν κωδίκελλον, ἀφαιρεῖται ὁ φίσκος θ' οὐγκίας ἀπὸ τῆς κληρονομίας αὐτοῦ, ἐπειδὴ εἰς τοσαῦτα μαρτυρεῖ δεδαπανηκέναι ὁ τεστάτωρ (4).

c. 74 B 14. Πᾶσα ζήτησις ἐπαγομένη τινὶ ‖ παρὰ (b) τοῦ φίσκου ἐκβάλλεται τῇ παραγραφῇ τῶν κ' ἐτῶν, εἰ μὴ ὥρισται συντομώτερος χρόνος ἐπί τινος πράγματος, ὡς ἡ τετραετία ἐπὶ τῶν βακάντων (5).

(a) *Cod.* κατηγοριθῇ (b) *Cod.* περὶ

10. Si libertinus damnetur, fiscus una cum patrono quod ex illius rebus reliquum est adquirit.

11. Fiscus publicatorum heres est eique sola quatuor annorum praescriptio opponitur.

12. Si servus aliquis adulterii accusetur et ob adulterii quaestionem torquetur, fisci fit, ne veritatem celet ob metum in domini potestatem revertendi.

13. Cum heres codicillum intercidat, .IX. uncias ex illius hereditate fiscus aufert, cum haec testator erogari declaret.

14. Quaecumque quaestio in aliquem a fisco illata .XX. annorum praescriptione extinguitur, nisi aliqua in re brevius tempus statuatur, veluti triennium in vacantibus.

(1) *Epit. leg.* XLI, 13 : « Ἀπελευθέρου « κατακριθέντος τὰ περιττεύοντα μετὰ « τὸν πάτρωνα καταλαμβάνει ὁ φίσκος ».

(2) Cf. *Epit. leg.* XLI, 14, che aggiunge la fonte: « ὡς βι. μδ' τί. γ' « διγ. ιβ' [l. ι'] ».

(3) *Epit. leg.* XLI, 15 : « Ἐὰν οἱ δοῦ- « λοι [τοῦ] περὶ μοιχείας κατηγορουμένου « διὰ τὴν τῆς μοιχείας ἔρευναν βασανιζό- « μενοι [βασανίζονται ?], ἵνα μὴ φόβῳ τοῦ « ὑποστρέψαι πρὸς τὸν δεσπότην ἀποκρύ- « ψωσι τὴν ἀλήθειαν, δημόσιοι γίνονται ».

(4) *Epit. leg.* XLI, 16: « ...ἐπειδὴ « ἑνὶ τοσαῦτα ἐν κωδικέλλοις δεδα- « πανηκέναι τὸν τεστάτορα. ὡς βι. μη' « τί. ιζ' διγ. α' ».

(5) *Epit. leg.* XLI, 17: « Πᾶσα ζή- « τησις παρὰ φίσκου ἐπαγομένη τινὶ τῇ « τῶν κ' ἐνιαυτῶν παραγραφῇ ἐκβάλ- « λεται, εἰ μὴ συντομώτερος ἐπί τινι ὥριστο « χρόνος, ὡς ἐπὶ τῶν βακαντίων ἡ τε- « τραετία. ὡς βι. μη' τί. ιζ' ».

15. Ὁ κυοφορούμενος τῶν δημευομένων οὐ [a] βοηθεῖται εἰς τὸ νόμιμον μέρος, καὶ γὰρ ἀντὶ τεχθέντος παραλαμβάνεται [1].

16. Φισκοῦται ὁ φαλκίδιος, ὃν ἀποκρύπτει ὁ κληρονόμος [2].

17. Οὐ συνδημεύονται τὰ ἱμάτια ἅπερ φορεῖ, ἢ δάκτυλοι ἕως ε' [b] νομισμάτων ἄξιοι, καὶ ἃ λάθρα ἐπιφέρουσι, τυχὸν νούμμους, εἰς ἀποτροπὴν τῶν κακῶν, καὶ ἁπλῶς εἰπεῖν πάντα ὅσα ἐφόρουν εἰσελθόντες εἰς τὸ δεσμοτήριον ὅτε ἔμελλον κολάζεσθαι. ταῦτα γάρ, ὡς εἴρηται, οὐ τῷ φίσκῳ δίδονται, ἀλλ' ὁ ἄρχων δίδωσιν αὐτὰ εἰς τὰ [c] στρατιωτικὰ πρόσωπα, ἢ εἰς τοὺς ἀνδραγαθήσαντας [3].

18. Ἐὰν σφραγίζονται τὰ πράγματά τινος ἀναζητουμένου, ἐκτιμωθέντων τῶν εὐφθάρτων πραγμάτων ‖ καὶ τῶν καρπῶν ὅλων [d] · καὶ εἰ c. 74 c
μὲν ὁ φυγὰς ἔλθοι ἐντὸς ἐνιαυτοῦ καὶ ἀποκαθαίρει ἑαυτόν, ἀναλαμβάνει αὐτά · εἰ δὲ μὴ θελήσει ἐλθεῖν, μήτε ἄλλος τις δεφενδεύσει

(a) οὐ] *Da espungere. Cf. Epit. leg. XLI, 18.* (b) ε' *manca nel Cod.* (c) *Cod.* εἰς τὰ εἰς τὸν (d) *Così il Cod.*

15. Conceptus damnatorum legitimam portionem accipit, pro nato enim habetur.

16. Fisco applicatur Falcidia, quam heres celat.

17. Non una publicantur vestes, quibus indutus est, aut anuli, qui .v. aureorum pretium non excedunt, et quae, forte nummuli, clam afferunt ad malorum victum et, ut simpliciter dicamus, quaecumque omnia illi, qui in custodiam ad poenam sustinendam ingrediuntur, attulerunt. Haec enim, uti dictum, fisco non assignantur, sed ea magistratus militaribus personis aut fortiter quid agentibus donat.

18. Cum requirendorum bona obsignantur, rerum, quae deteriora fieri possunt, et fructuum omnium pretia in deposito sint; et si absens quidem intra annum redierit ac sese purgaverit, res ipsas habet; sin autem redire noluerit, nec alius quispiam

(1) *Epit. leg.* XLI, 18: « Ὅτε οἱ δη-
« μευόμενοι καὶ ἐγκαταλιμπάνοντες τὸν
« κυοφορούμενον, βοηθεῖται τὸ νόμιμον
« μέρος λαβεῖν · καὶ γὰρ ὁ κυοφορούμενος
« ἀντὶ τεχθέντος λογίζεται ».

(2) *Epit. leg.* XLI, 19: « Τὸν φαλ-
« κίδιον ἐν ᾧ ἀποκρύπτει ὁ κληρονόμος
« φισκοῦται ».

(3) *Epit. leg.* XLI, 20: « Οὐ συνδη-
« μεύονται ἅπερ φορεῖ ἱμάτια » &c.

αὐτόν, μετὰ τὸν χρόνον φισκοῦται τὰ πράγματα αὐτοῦ, οὐδὲ πρέπει ἵνα χρεῶσται αὐτῷ, ἐὰν φύγῃ, στρέψωσι τὸ χρέος αὐτοῦ (1).

19. Ἐάν τις οὐχ ὑπάρχῃ εἰς τὴν χώραν, οὐ καταδικάζεται ἐν μεγάλῳ ἐγκλήματι, τυχὸν ἐπάγοντα αὐτῷ κεφαλικὴν ποινήν, ἀλλὰ γίνεται ἀναζήτησις προτιθεμένου χρόνου ἑνὸς ἐδίκτου, ἵνα μάθοι καὶ ἔλθοι, καὶ ἐὰν (a) ἀποκαθάρῃ ἑαυτόν· γίνονται καὶ γράμματα πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας, ἐν ᾗ διάγει ὁ ἀναζητούμενος. ἐὰν εἴσω τοῦ ἐνιαυτοῦ ἔλθοι (b) καὶ ἀποθάνῃ, οὐ φισκοῦται ἡ οὐσία αὐτοῦ, ἀλλὰ τοῖς κληρονόμοις αὐτοῦ ἁρμόζει (2).

20. Ὁ κατακριθεὶς καὶ ἐγκαλεσάμενος, ἐὰν ἀποθάνῃ τῆς ἐγκλήσου
c. 74 b ἠρτημένης (c) οὐ δημεύεται (d), | ἔῤῥωται γὰρ ἡ διαθήκη τοῦ τοιούτου (3).

21. Οὐ πάντως δημεύεται ὁ φονεύων ἑαυτόν, τοῦ γὰρ τοιούτου καὶ ἡ διαθήκη ἔῤῥωται, ἀλλὰ ὁ κατηγορηθεὶς (e) ἢ ὁ καταληφθεὶς ἐν

(a) ἐὰν] *Forse da espungere; o da correggere in* ἵνα (b) ἔλθοι] *Così il Cod.*
(c) *Cod.* ἠρτιμένης (d) *Cod.* διμεύεται (e) *Cod.* κατηγορηθὴς

eum defenderit, post annum eius bona in fiscum coguntur; neque convenit, ut debitores ei debitum solvant, si fugerit.

19. Si quis in civitate non adest, ob magnum crimen non damnatur, quod ei forte capitalem ingerat poenam; sed tempore unius edicti praestituto, inquisitio fit, ut sciat et veniat seque purget: litterae quoque mittuntur ad provinciae magistratum, ubi requirendus consistit. Si intra annum veniat et morietur, non publicatur substantia eius, sed ad eius successores transmittitur.

20. Si damnatus appellaverit et, pendente appellatione, decesserit, bona eius non publicantur; testamentum enim eius ratum est.

21. Non publicatur qui se ipsum interficit, huiusce enim et testamentum ratum est, sed ille qui reus postulatus aut in

(1) *Epit. leg.* XLI, 22: « Ἐφ' ὅσον « σφραγίζονται τὰ πράγματα τοῦ ἀνα- « ζητουμένου, τῶν εὐφθάρτων καὶ τῶν « καρπῶν [πιπρασκομένων], ἀποτιθεμέ- « νων τῶν τιμῶν. καὶ εἰ μὲν ἐντὸς « ἐνιαυτοῦ ἐλθὼν ἑαυτὸν καθάρῃ, ἀνα- « λαμβάνει αὐτά· εἰ δὲ μὴ ὑπακούσῃ « μήτε δεφενδεύσῃ τις αὐτόν, φισκοῦται « μετὰ τὸν ἐνιαυτόν. οὐ δεῖ δὲ τοὺς « χρεώστας αὐτοῦ καταβαλεῖν αὐτῷ φεύ- « γοντι ».

(2) *Epit. leg.* XLI, 23: « Ἀπών τις « οὐ καταδικάζεται μεγάλῳ ἐγκλήματι, « τυχὸν ἐπάγοντι ποινὴν κεφαλικήν, ἀλλὰ « παραγινομένου [προγράμματος γι- « νομένου?], ἵνα γνοὺς τοῦτο ἔλθῃ καὶ « ἑαυτὸν καθάρῃ. γίνονται δὲ » &c.

(3) Cf. *Epit. leg.* XLI, 25.

μυσαρᾷ τινι τάξει· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ὅτε ἡ καταδίκη τοῦ ἐγκλήματος κατηγορήσει τινὶ θανάτῳ. ὁ δὲ ποιῶν τοῦτο διὰ μῖσος τῆς ζωῆς ἢ διὰ πόνον τῆς νόσου ἢ διὰ τὴν λύπην τοῦ υἱοῦ, ἡ οὐσία αὐτοῦ οὐ δημεύεται. ὡς β. $\overline{\mu\eta}$ τῶν σ' (1).

22. Ὁ ἐπιβαλὼν χεῖρας χωρὶς πταίσματος καὶ αἰτίας καὶ μὴ ἐπιτυχὼν τιμωρεῖται, ὡς ἐκεῖνος ὅστις καὶ ψηφίσει τοῦ ἑαυτοῦ καὶ μὴ ἄλλο (a) (2).

23. Ἐὰν ὁ ἀνὴρ μὴ ἐκδικήσῃ τὸν φόνον τῆς γυναικὸς αὐτοῦ, ἡ προὶξ φισκοῦται καθ' ὅσον διαφέρει αὐτῷ (3).

24. Ὁ ἐναγόμενος περὶ ἐγκλήματος ἐν φισκαλίᾳ δίκῃ, ἐὰν σπουδάσῃ ὑποφθεῖραι τὸν δικαστὴν χρήμασιν ἢ τὸν ἀντίδικον αὐτοῦ, νομίσματα φ' δίδωσι τῷ φίσκῳ (4).

(a) *Il testo è corrotto; pel senso cf. Epit. leg. XLI, 27.*

scelere quodam gravi deprehensus est; neque hoc simpliciter, sed cum criminis damnatio ei mortem minata sit. Si quis autem hoc fecerit toedio vitae vel labore mali vel dolore filii, substantia eius non publicatur, ut lib. .XLVIII....

22. Qui sine crimine et causa manus (sibi) intulit et non perpetravit, puniendus est; qui enim sibi non pepercit, multo minus alii parcet.

23. Si maritus uxoris suae mortem non vindicat, publicatur dos, prout ad eum pertineat.

24. Qui de crimine in causa fiscali convenitur, si iudicem aut adversarium suum muneribus redimere temptaverit, fisco quingentos solidos inferat.

(1) *Epit. leg.* XLI, 26: « Οὐ παντὸς « τοῦ ἑαυτὸν ἀνελόντος ἡ οὐσία δημεύε- « ται..., ἀλλὰ τοῦ κατηγορηθέντος ἢ « καταληφθέντος ἐν μυσαρᾷ τινι πράξει. « καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ὅτε ἡ κα- « ταδίκη τοῦ ἐγκλήματος, ᾧτινι κατη- « γορεῖται, τὸν θάνατον * * καὶ διὰ τὸ « μῖσος τῆς ζωῆς ἢ διὰ πόνον ἢ νόσον ἢ « δι' ἑτέραν αἰτίαν ἢ διὰ τὴν λύπην « τοῦ υἱοῦ τοῦτο ποιῶν, οὐ δημεύεται ἡ « οὐσία αὐτοῦ. ὡς βι. μη' τί. κ' « [l. κα'] διγ. γ' ».

(2) *Epit. leg.* XLI, 27: « Ὁ χεῖρας « ἐπιβαλὼν χωρὶς αἰτίας καὶ μὴ ἐπιτυχὼν « τιμωρεῖται· ὁ γὰρ ἑαυτοῦ καταψηφισά- « μενος οὐκ ἂν ἑτέρου φείσαιτο ».

(3) *Epit. leg.* XLI, 28: « Τοῦ ἀνδρὸς « μὴ ἐκδικοῦντος τὸν φόνον τῆς γυναικός, « ἡ προὶξ καθ' ὅσον διαφέρει αὐτῷ φι- « σκοῦται. ὡς βι. μθ' τί. ιδ' ».

(4) *Epit. leg.* XLI, 30: « Ὁ ἐν φι- « σκαλίᾳ δίκῃ περὶ ἐγκλήματος ἐναγό- « μενος, ..., πεντακόσια νομίσματα δί- « δωσι τῷ φίσκῳ ».

c. 75 a

25. Ὁ φίσκος λαμβάνει τὰ πράγματα τῶν ὁμήρων, τουτέστι τῶν ὀφείλων, ὥσπερ τῶν αἰχμαλώτων, εἰ μέντοι ἰσχυρίσωνται (a) τοῦτο δίκαιον διατίθεσθαι ὡς Ῥωμαῖοι διηγοῦνται· εἰ γὰρ ταῦτα γὰρ διατίθεσθαι οὐ (b) δύνανται (1).

26. Ἐν ταῖς ποιναῖς οὐχ ἔχει ὁ φίσκος προνόμιον εἰς τὸ προτιμηθῆναι τῶν δανειστῶν (c). αὐτῶν γὰρ τὸ ἴδιον χρέος πληρωμένων ἐκ τῆς τιμῆς τῶν ἐνεχύρων, ὁ φίσκος τὸ περιττὸν λαμβάνει (2).

27. Ἐπὶ τῶν ταχέων φιδεικομμισσίων ἐν ᾧ ἀρμόζει τῷ φίσκῳ (d). τὸ τάχιστον φιδεικόμισσόν ἐστι τὸ ἀπεκφωνούμενον ἐν τῇ ἀναγνώσει τῆς διαθήκης (3).

28. Ὁ φισκέλιος χρεώστης καλῶς αἰτεῖ προθεσμίαν ἐπὶ τῷ δυνηθῆναι καταβαλεῖν· καὶ ἐπὶ μὲν μεγάλης ποσότητος χρέους οὐ δίδοται προθεσμία πλέον τῶν γ' μηνῶν (e), ἐπὶ δὲ ἥττονος β' μηνῶν (4).

29. Ὁ διαφθείρων τὸ ἐγχειρισθὲν αὐτῷ δημόσιον λειτούργημα ὑπόκειται πανῇ χρυσίου (5).

(a) *Cod.* ἰσχυκότες (b) οὐ] *Da expungere.* (c) *Cod.* δανειστῶν (d) τῶν ταχέων – φίσκῳ] *Parole supplite.* (e) *Cod.* μηνῶν

25. Fiscus accipit bona obsidum sicut captivorum; nisi ius testandi habentes ut Romani egerint: hi enim testari possunt.

26. In poenis fiscus privilegium non habet, ut creditoribus praeferatur; postquam enim hi creditum suum reciperaverint ex pignorum pretio, quod superfluum est fiscus accipit.

27. Ex (tacitis fideicommissis actio in rem ad fiscum pertinet). Tacitum fideicommissum est quod in lectione testamenti celatur.

28. Recte fiscalis debitor dilationem petit ut solvere possit; et in maiori quidem debiti summa non plus quam tres menses, in minori vero non plus quam duo prorogantur.

29. Qui rupit munus ei publice mandatum, aurei poenae subiacet.

(1) *Epit. leg.* XLI, 31: « Τὰ π. τῶν « ὁμήρων ὥσπερ τ. αἰχ. ὁ φ. λαμβάνει, « εἰ μή τι διατίθενται δίκαιον τόδε ἰσχη- « κότες, ὡς ῥωμαίοις διάγουσιν· οἱ τα- « οῦτοι γὰρ διατίθεσθαι δύνανται ».

(2) Cf. *Epit. leg.* XLI, 32.

(3) *Epit. leg.* XLI, 33: « ... ταχ. « φιδικ. ἐστι τὸ μὴ γινωσκόμενον ἀπὸ « τῆς ἀναγνώσεως τ. δ. ».

(4) Cf. *Epit. leg.* XLI, 36.

(5) Cf. *Epit. leg.* XLI, 37.

30. Ἄκουσον πάλιν γενικοῦ κανόνος· πᾶσα (a) ‖ καταδίκη ἀφαιρουμένη ζωὴν (b) ἢ πολιτείαν ἢ ἐλευθερίαν, ὑπόκειται σιωπηρῶς δημεύσει, πλὴν εἰ μὴ γυνή ἐστιν· αὕτη γὰρ ἀπὸ ε' αἰτιῶν καὶ μόνον δημεύεται, ὅτε καταδικασθῇ ἐπὶ καθοσιώσει ἢ περὶ ἀνδροκτονίας ἢ πατροκτονίας ἢ γοητείας ἢ φόνου. ὁ καταδικαζόμενος μὴ προσελθὼν (c) τῷ ἰδίῳ οἴκῳ οὐ μὴν καταδικάζεται κεχρῆσθαι τῷ ἑαυτοῦ οἴκῳ. ὁ ἐλευθερωθεὶς ἀπὸ ἐξορίστου οὐ δύναται ἐπιβῆναι τῇ Ῥώμῃ, ὥσπερ οὐδὲ τῷ πάτρωνι αὐτοῦ ἔξεστιν ἐπιβῆναι (1). c. 75 a

31. Οἱ εἰς νῆσον ἐξοριζόμενοι τοὺς παῖδας αὐτῶν ἔχουσιν ὑπεξουσίους καὶ τὰ λοιπὰ δίκαια (2).

32. Οἱ δεπορτάτοι οὐ λαμβάνουσι κληρονομίαν οὐδὲ λεγάτα οὐδὲ φιδικόμισσον· καταλιμπάνουσι δὲ αὐτοῖς ὡς ἐν διαθήκαις τὰ πρὸς ἀποτροφὴν καὶ τὰς ἄλλας ἀναγκαίας χρείας. καὶ ὁ ἐξόριστος καὶ ‖ ὁ δεπορτάτος, ἐὰν ἀποκαταστῶσι, διαδέχονται τοῦς ἰδίους ἀπελευθέρους. c. 75 c

(a) *Cod.* πάση (b) *Cod.* ζώνην (c) προσελθὼν] *Così il Cod.; forse* προσελθεῖν, *come nell' Epit. leg. XLI, 39.*

30. Audi rursus regulam generalem: omnis damnatio quae, vitam vel civitatem vel libertatem adimit, (tacitae publicationi subiacet,) excepto si mulier sit: ipsa enim ex quinque tantum causis publicatur, cum nempe damnatur maiestatis, homicidii, parricidii, veneficii, de sicariis. Qui damnatus est, ne ad domum suam accedat, non damnatur ut ea ipsa utatur. Qui a relegato manumissus est, Romae morari non potest, cum ne patrono quidem eius liceat.

31. In insulam relegati liberos in potestate retinent et reliqua iura.

32. Deportati neque hereditatem nec legata nec fideicommissum accipiunt; relinquuntur autem iis, veluti in testamentis, quae ad victum aliosque necessarios usus sufficiant. Tam relegatus quam deportatus, si redierint, ad libertorum successionem

(1) *Epit. leg.* XLI, 39: « ... πᾶσα « καταδίκη ἀφαιρουμένη ζώνην (*sic*) »; mancano le parole: « ἢ πολιτείαν ἢ ἐλευ- « θερίαν », che sono nel nostro. Cf. *Dig.* XLVIII, 20, 1, pr. Abbiamo tradotto letteralmente la penultima proposizione di questo capitolo, ch'è evidentemente corrotta, come risulta dal confronto con l' *Epit. leg.* loc. cit. e sopratutto coi *Dig.* XLVIII, 22, 9 e 10.

(2) Cf. *Epit. leg.* XLI, 40.

δεπορτάτος δὲ πρὸς καιρὸν οὐκ ἐστι, ἀλλὰ διηνεκῶς καὶ πάντοτ κατεκρίθη [1].

33. Ἡ περιουσία τῶν ὑποκειμένων τῷ θανάτῳ ἢ δημεύσει διά ἔγκλημα τοῖς κατιοῦσιν ἁρμόζει καὶ οὐχὶ [a] τοῖς ἀνιοῦσι, μέχρι τοῦ τρ του [b] βαθμοῦ. αἱ γὰρ γαμεταὶ αὐτῶν λαμβάνουσι τὰς ἰδίας προῖκας κ τὰς προγαμιαίας δωρεάς. εἰ δὲ ἄπροικοι ὑπάρχουσιν αἱ γαμεταὶ αὐτῶν λαμβάνουσι τὸ δ' τῆς οὐσίας αὐτῶν. εἰ δὲ οὔκ ἐστί τις τῶν εἰρημένω αὐτοῖς, τῷ φίσκῳ προσκυροῦνται ἅπαντα. τοῖς [c] κρινομένοις δῆλο ὅτι ἐπὶ καθοσιώσει [2].

34. Ἐὰν δέ [d] τις γένηται στρατηγὸς ἢ ἱερεὺς ἔν τινι πόλει κατ κολακείαν τοῦ λαοῦ, καταδικάζεται εἰς νομίσματα ρ', καὶ ἀτιμοῦται ὁμοίως καὶ ὁ τυπώσας [e] καινὸν τέλος τῇ αὐτῇ ποινῇ ὑποκείται. καὶ
c. 75 D κατήγορος ‖ καὶ ὁ κατηγορούμενος ἀναβαίνων εἰς τὸν οἶκον τοῦ δικαστοῦ νομίσματα ρ' τῷ φίσκῳ δίδωσι [3].

(a) *Cod.* οὐχὴ *da espungere.* (b) τρίτου] *Manca questa parola nel Cod.* (c) τοῖς] *Avanti questa parola è in rosso nel marg. lat. est.* ἢ (d) *Cod.* δὲ (e) *Cod.* τυπῶσας

admittuntur. Deportatus autem non ad tempus, sed in perpetuum et omnino damnatus est.

33. Eorum substantia, qui ob crimen aliquod morti aut publicationi subiacent, ad descendentes nec non ad ascendentes ad (tertium) usque gradum spectat. Uxores autem eorum dotes suas et antenuptiales donationes recipiunt; quod si mulieres eorum indotatae sint, quartam partem substantiae eorum lucrantur. Quod si iis nemo praedictorum adsit, omnia fisco adquiruntur. In his qui maiestatis damnati sunt.

34. Si quis quadam in urbe magistratus fit aut sacerdos per populi favorem, in .c. aureos damnatur et notatur infamia. Item is, qui novum vectigal instituerit, eadem plectitur poena. Tam reus quam accusator, qui iudicis domum ingreditur, .c. aureos fisco inferat.

(1) Cf. *Epit. leg.* XLI, 41.

(2) *Epit. leg.* XLI, 42: « Τῶν ὑπο- « κειμένων θανάτῳ ἢ δημεύσει διά τι « ἔγκλημα ἡ περιουσία τοῖς κατιοῦσιν ἢ « τοῖς ἀνιοῦσιν ἁρμόζει » &c.

(3) Cf. *Epit. leg.* XLI, 43, che aggiunge la fonte: « ὡς βι. μη' τί. ιδ' « διγ. α' ».

Τίτλος λζ.

Περὶ ὕβρεως καὶ περὶ ἁμαρτημάτων ἐλευθέρων καὶ δούλων.

1. Γενικῶς μὲν ἡ ὕβρις λέγεται τὸ παράνομον, τουτέστι καθ' ὅλου (a) πᾶν ἁμάρτημα λέγεται ὕβρις, ἀλλ' ἰδικῶς, τουτέστι γνησίως, λέγεται ἡ περιφρόνησις καὶ ἡ ζημία, ὥσπερ φησὶν ὁ Ἀκουίλιος τοῦ διπλοῦ καὶ τοῦ τρίτου καὶ τοῦ τέταρτου, καὶ ἡ ἀδικία, ὡς (b) ἐστιν ἐπὶ τοῦ ψηφισαμένου ἀδίκως καὶ παρανόμως (1).

2. Ἡ ὕβρις ἢ ἐν λόγῳ ἢ ἐν ἔργῳ (c) γίνεται· καὶ εἰς σῶμα, ὥσπερ ἐστὶν ἐπὶ τοῦ πληγέντος, καὶ εἰς ἀξίαν γίνεται ἡ ὕβρις, ὡς ὅταν ἀφέληται ἀκολουθῶν τῇ οἰκοδεσποίνῃ αὐτοῦ διὰ τὴν ἀτιμίαν αὐτῆς, ἀποσπᾶται ἀπ' αὐτῆς (d), καὶ ὅταν ἀποπειρᾶται τῆς σωφροσύνης αὐτῆς (2).

(a) *Così il Cod.* (b) *Cod.* ἐως (c) ἢ ἐν ἔργῳ] *Parole supplite.* (d) ἀποσπᾶται ἀπ' αὐτῆς] *Glossa.*

Titulus XXXVII.

De iniuria et de peccatis liberorum et servorum.

1. Generaliter quidem iniuria dicitur quod non iure fit, h. e. generatim omne peccatum iniuria dicitur; proprie autem, h. e. specialiter, contumelia et damnum appellatur, ut dicit lex Aquilia dupli tripli et quadrupli, nec non iniquitas, veluti in eo, qui inique et iniuste sententiam dixit.

2. Iniuria fit aut verbis (aut re): et in corpus, cum quis pulsatur, et ad dignitatem fit iniuria, cum comes matronae in eius infamiam abducitur, (sc.) ab ea separatur, et cum eius pudicitia attentatur.

(1) *Epit. leg.* XLII, 1: « Γ. μ. ἡ ὕ. « λ. τ. π., ἰδικῶς δὲ ἡ καταφρόνησις καὶ « ἡ ζημία, ὡς ἐπὶ τοῦ ἀκουιλίου τουτέστι « τοῦ διπλοῦ, καὶ ἡ ἀδικία, ὡς ἐπὶ τοῦ « ἀδίκως καὶ παρανόμως ψηφισαμένου ».

(2) *Epit. leg.* XLII, 2: « ... καὶ εἰς « σῶμα καὶ εἰς ἀξίαν· εἰς σῶμα, ὡς ἐπὶ τοῦ « πληγέντος, εἰς ἀξίαν, ὡς ὅταν ὁ ἀκολου- « θῶν τὴν οἰκοδεσποίνην ἀφέληται εἰς ἀτι- « μίαν, ὅταν ἀποπειρᾶται τῆς σωφροσύνης ».

3. Εἰ (a) δὲ βουλόμενός τις πωλῆσαι τὸν υἱὸν αὐτοῦ, αὐτῷ μὲν οὐχ ἁρμόζει ἡ ὕβρις (1).

c. 75 A 4. Ἐὰν ἐν τῇ ταφῇ ἢ καὶ ἐν τῷ λειψάνῳ ὕβρις γένηται, τῷ κληρονόμῳ γίνεται ἡ ὕβρις. εἰ γὰρ ὑβρισθῇ ἡ γυνή μου, καὶ αὐτὴ καὶ ὁ πατὴρ αὐτῆς καὶ ἐγὼ ἔχομεν τὴν ἀγωγήν, τουτέστι δυνάμεθα ἀκωλύτως ἐνάγειν κατὰ τοῦ ὑβρίσαντος (2).

5. Ἐὰν κωλυθῇ τις πλεῦσαι ἐν θαλάσσῃ ἢ ἐν δημοσίῳ κάμπῳ (b) γυμνάσασθαι ἢ (c) ἐν τῷ δημοσίῳ λουτρῷ λούσασθαι (d) ἢ ἐν θεάτρᾳ θεωρῆσαι ἢ παῖξαι, ἔχει κατὰ τοῦ κωλύσαντος τὴν ἐνουριάρουμ (e) ἀγωγήν (3).

6. Ἐὰν κρούσῃς τινὰ παίζων ἢ ἀγωνιζόμενος, οὐκ ἔχεις τὴν ὕβριν. οὔτε μὴν καταδικάζεται ὁ τύπτων τὸν ἐλεύθερον ὡς δοῦλον, μὴ εἰδὼς ὅτι ἐλεύθερος ὑπάρχει (4).

(a) *Cod.* Ὁι *(ma* Ο *in rosso).* (b) ἐν δημοσίῳ κάμπῳ] *Parole supplite.* (c) ἢ *manca nel Cod.* (d) λούσασθαι *manca nel Cod.* (e) *Cod.* ἐνουριάρουμ.

3. Si autem quis volentem filium eius vendiderit, ei quidem iniuria non competit.

4. Si funeri vel etiam cadaveri fit iniuria, heredi iniuria fit. Igitur si uxori meae iniuria facta est, et ipsa et pater eius et ego actionem habemus, h. e. absque impedimento in eum, qui iniuriam fecit, agere possumus.

5. Si quis prohibeatur in mari navigare aut (in publico campo) ludere (aut) in publico balneo (lavare) aut in theatris spectare vel ludere, in prohibentem iniuriarum actionem habet.

6. Si iocans vel certans quemquam percuties, iniuriarum non teneris. Neque damnandus qui hominem liberum ut servum ceciderit, nesciens liberum esse.

(1) *Epit. leg.* XLII, 3: « Εἰ δὲ καί τις « βουλόμενος τὸν υἱὸν αὐτοῦ πωλῆσαι, αὐτῷ « μὲν οὐχ ἁρμόζει ἡ ὕβρις, ὕβρις γὰρ « οὐκ ἐστιν ἐν γένει πρὸς τὸν γι- « νόμενον, ἀλλ' εἰς τὸν μὴ βουλό- « μενον, τουτέστιν ἐμοὶ ἁρμόζει ».

(2) *Epit. leg.* XLII, 4: « Καὶ ἐν τῇ « ταφῇ ἡ τῶν λειψάνων ὕβρις τῷ κλη- « ρονόμῳ γίνεται ὕβρις. τῆς γὰρ γυναι- « κός μου ὑβρισθείσης, καὶ αὐτὴ καὶ ὁ « π. α. κἀγὼ ἔ. τ. ἀ. ».

(3) *Epit. leg.* XLII, 5: « Ὁ κωλυό- « μενος ἐν θαλάσσῃ πλεῦσαι... τὴν ἐνου- « ριάρουμ ἔχει ».

(4) *Epit. leg.* XLII, 6: « Ἐὰν παίζων « ἢ ἀγωνιζόμενος κρούσῃς τινά, οὐκ ἔχεις « τὴν ὕβριν, οὔτε μὴν ὁ τὸν ἐλεύθερον « ὡς δοῦλον τύπτων ».

7. Ἐὰν πολλοὶ δοῦλοί μου ὑβρίσωσιν, ὑπὲρ ἑκάστου ἐνάγομαι, καὶ οὐχὶ καταδικάζομαι ὥσπερ ἑνὸς ἐλευθέρου ὡς ἐπὶ τῆς κλοπῆς (1).

8. Ὁ πάτρων ἐὰν τύψῃ τὸν ἀπελεύθερον φραγέλλαις, ἐνάγεται τὴν περὶ ὕβρεως ἀγωγήν (2).

9. Σκαιῶν καὶ κακῶν ὕβρεων διαμαρτηθέντων οὐ χρὴ τὸν ἄρχοντα ὑποπτεύειν τὰς πληγάς (3). c. 76 B

10. Ὅτι ὁ ἐλεύθερος μὲν ὑβρίζων εἰς χρήματα καταδικάζεται, ὁ δὲ οἰκέτης μαστιγοῦται. ἡ ὕβρις οὐ διαβαίνει εἰς τοὺς κληρονόμους τοῦ ὑβρισθέντος, ἐὰν οὐ γίνεταί τις ὕβρεως ἀρχὴ ἐν τῷ δικαστηρίῳ· οὐδὲ κληρονόμοις τοῦ ὑβρισθέντος δίδοται ἡ ἀγωγὴ περὶ τῆς ὕβρεως, οὔτε διαβαίνει κατὰ κληρονόμου τοῦ ὑβρίσαντος. οὐ δίδοται ἡ ὕβρις κατὰ τοῦ πάτρωνος (4).

11. Τὰ κατὰ θερμότητα ἢ ὀργὴν λεγόμενα οὔκ εἰσι βέβαια, εἰ

7. Si plures servi mei iniuriam fecerint, pro unoquoque teneor, neque condemnor ut in uno homine libero, veluti in furto.

8. Si patronus libertum flagellis ceciderit, iniuriarum actione tenetur.

9. Gravibus atrocibusque iniuriis patratis, non oportet ut iudex plagas inspiciat.

